LXXX. Orion. *Theo* und *Schol. Arat. Phaen.* 322: *Τοῦτον δὲ Ἡ. φησι Βρύλλης* (lies *Εὐρυάλης Eratosth.* 32 u. A.) *τῆς Μίνωος καὶ Ποσειδῶνος εἶναι δωρεὰν δὲ ἔχειν ἐπὶ τῶν κυμάτων πορεύεσθαι· ἐλθόντα δὲ ἐς Χῖον Μερόπην τὴν Οἰνοπίωνος βιάσασθαι οἰνωθέντα, τὸν δὲ Οἰνοπίωνα χαλεπαίνοντα ἐκτυφλῶσαι αὐτόν· ἐλθόντα δὲ εἰς Λῆμνον ἀλητεύοντα Ἡφαίστῳ συμμίξαι, ὃς αὐτὸν ἐλεήσας δίδωσιν αὐτῷ ποδηγέτην Κηδαλίωνα, ὃν λαβὼν ἐπὶ τῶν ὤμων ἔφερε τὰς ὁδοὺς αὐτῷ σημαίνοντα· ἐλθὼν δὲ εἰς ἀνατολὰς καὶ ἡλίῳ συμμίξας ὑγιάσθη καὶ οὕτως ἐπὶ τὸν Οἰ. ἦλθε τιμωρήσασθαι μέλλων, ὁ δὲ μαθὼν ὑπὸ γῆν ἐκρύβη· ἀνελπίσας δὲ αὐτὸν εὑρεῖν εἰς Κρήτην ἦλθεν καὶ τῇ Ἀρτέμιδι σύνθηρος ἦν· ἐπιχειρήσας οὖν καὶ ταύτην βιάσασθαι ὑπὸ σκορπίου πληγεὶς ἐτελεύτησεν.* Ganz ähnlich *Schol. Nicand. p.* 28, *Hygin. Astron.* 34, *interpr. Arat. Phaen. p.* 75 *sq. Buhle*, nur dass hier Orion seiner Grossprechereien wegen vom Skorpion getödtet wird. Dazu nehme man *Schol. Harl. Od. ι*, 199: *Καθ' Ἡσίοδον λέγοντα τὸν Μάρωνα εἶναι Οἰνοπίωνος τοῦ Διονύσου*, *Eust. p.* 1623: *Οὗ* (*Μάρωνος*) *τὸν πατέρα Εὐάνθην Ἡ. Οἰνοπίωνος* (*φασὶν ἱερὸν* — zu streichen) *ἱστορεῖ υἱοῦ Διονύσου. Diod.* IV, 85: *Ἡ. δὲ ὁ ποιητὴς φησι τοὐναντίον ἀναπεπταμένου τοῦ πελάγους Ὠρίωνα προσχῶσαι τὸ κατὰ τὴν Πελωρίδα κείμενον ἀκρωτήριον καὶ τὸ τέμενος τοῦ Ποσειδῶνος κατασκευάσαι τιμώμενον ὑπὸ τῶν ἐγχωρίων διαφερόντως· ταῦτα δὲ διαπραξάμενον εἰς Εὔβοιαν μεταστῆναι κἀκεῖ κατοικῆσαι διὰ δὲ τὴν δόξαν ἐν τοῖς κατ' οὐρανὸν ἀστροῖς καταριθμηθέντα τυχεῖν ἀθανάτου μνήμης.*

LXXXI. Phaethon. *Interpr. Germ. Arat. Phaen. p.* 83 *sq.*: *Hesiodus autem eum (Eridanum) inter astra collocatum propter Phaethonta Solis et Clymenes filium, qui dicitur patris currum ascendisse. Cumque a terra altius levaretur, prae timore in Eridanum fluvium — cecidit ab Iove fulmine percussus, et omnia ardere coeperunt, caussaque extinguendi universos amnes immissos esse, omneque mortalium genus interiisse praeter Pyrrham et Deucalionem. Sorores quoque Phaethontis flentes in arbores populos versae sunt, lacrimae-*

que earum in electrum durare dicuntur Heliadesque appellatae, ipsarum autem nomina Merope Helie Aegle Aegiale Petre (für beide letzteren *Lampetie* nach *Hygin.*) *Phoebe Chaerie (Aetherie) Dioxippe. Cycnus quoque rex Liguriae Phaethontis propinquus, dum fleret, in cycnum conversus est: id (is) quoque monens (moriens) flebile canit.* Dasselbe *Hygin. f.* 154 unter dem Titel *Phaethon Hesiodi*, der noch besonders des H. beim Elektrum Erwähnung thut; nur nennt er den Ph. *Clymeni Solis filii et Meropes nymphae filius*, lässt das von Pyrrha und Deukalion weg und leitet die schwarze Farbe der Inder vom Sturze Ph. her. S. Welcker Trilogie S. 569.

LXXXII. Helike. *Schol. Arat. Phaen.* 27: (Ἑλίκην) Ἡ. φησι Λυκάονος θυγατέρα εἶναι καὶ ἐν Ἀρκαδίᾳ κατοικοῦσαν ἐλέσθαι μετὰ Ἀρτέμιδος τὴν περὶ τᾶς θήρας ἀγωγὴν ἔν ὄρεσι ποιεῖσθαι· φθαρεῖσαν δὲ ὑπὸ Διὸς καὶ ἤδη μέλλουσαν τεκεῖν ὀφθῆναι ὑπ' αὐτῆς λουομένην, ἐφ' ᾧ ὀργισθεῖσαν τὴν Ἄρτεμιν θηριῶσαι αὐτήν, καὶ οὕτω τεκεῖν ἄρκτον οὖσαν τὸν κληθέντα Ἀρκάδα, οὖσαν δὲ ἐν τῷ ὄρει θηρευθῆναι ὑπ' αἰπόλων τινῶν καὶ παραδοθῆναι Λυκάονι μετὰ τοῦ βρέφους· μετὰ χρόνον δέ τινα δόξαι εἰσελθεῖν εἰς τὸ Λύκαιον, ὅ ἐστι τοῦ Διὸς ἄβατον, ἀγνοήσασαν τὸν νόμον ὑπὸ τοῦ ἰδίου υἱοῦ διωκομένην —· ὁ Ζεὺς διὰ τὴν συγγένειαν αὐτὴν ἐξείλετο· καὶ ἐν τοῖς ἄστροις ἔθηκεν Ἄρκτον αὐτὴν ὠνομάσας. Dasselbe beim *interpr. Germ. Arat. p.* 38 *sq.*, wo ihr Name Kalliste aus H. erwähnt und erzählt wird, sie sei mit ihrem Sohne Lykaon im Tempel des Zeus getödtet worden.

Zu diesem allen nehme man noch oben *fr.* XXII, wobei aber die Bemerkungen von Müller Prolegomena S. 196 ff. wohl zu beachten sind.

LXXXIII. *Schol. Apoll.* I, 757: Διόπερ παρ' Ἡ. οὕτως ἀναγνωστέον·

Αὐτὸς δ' ἐν πλήσμῃσι διϊπετέος ποταμοῖο
καὶ οὐχ, ὥς τινες, πλήμυῃσιν. Von Phaethon?

LXXXIV. *Ib.* I, 456, *Etym. M. p.* 557:

Βαίνου λαροῖς ποσί.

τοῖς κατ' ὄψιν ἡδέσιν. Das erste Wort, das beim *Schol.* fehlt, ist wohl *βαῖνον* zu schreiben.

LXXXV. *Schol. Il.* ξ, 119 (*ἀντὶ τοῦ ἱππικός*):

Ἰδὼν δ' ἱππήλατα κήρυξ.

LXXXVI. *Schol. Nicand. p.* 44: *Κτίλα ἐπὶ τῶν ἡμέρων καὶ τιθάσσων τίθεται . . . καὶ Ἡ.·*

Χρὴ πατέρι κτίλον ἔμμεναι.

LXXXVII. *Cramer Anecd.* II *p.* 148:

Δῶρα θεῶν μακάρων πλῆσθαι χθονί.

LXXXVIII. *Ib.* III *p.* 318:

Πίσσης τε δνοφερῆς καὶ κέδρου νηλέϊ καπνῷ.

LXXXIX. *Schol. Il.* λ, 155:

Τῆλε γὰρ ἀξυλίῃ κατεπύθετο κήλεα νηῶν.

Hermann S. 268 emendirt *χείλεα* und vermuthet für *τῆλε τῆδε* (dort).

XC. *Schol. Od.* η, 104. *Καὶ Ἡ. γάρ φησι τό·*

Ἀλετρεύουσι μύλης ἔπι μήλοπα καρπόν

ἐπὶ τῆς ἠλακάτης τῆς στρεφομένης δίκην μύλης. Die Stelle des H. scheint verdrängt worden zu sein durch die des Homer.

XCI. Mehrere Sentenzen werden aus H. erwähnt.

1. *Νήπιος, ὃς τά (γ') ἔτοιμα λιπὼν ἀνέτοιμα διώκει.*
2. *Δῶρα θεοὺς πείθει δῶρ' αἰδοίους βασιλῆας.*
3. *Ἔργα νέων βουλαὶ δὲ μέσων εὐχαὶ δὲ γερόντων.*
4. *Εἶκε πάθοι, τά κ' ἔρεξε, δίκη κ' εὐθεῖα γένοιτο.*
5. *Ὡς κε πόλις ῥέζῃσι, νόμος δ' ἀρχαῖος ἄριστος.*

1. *Schol. Theocr.* XI, 75 (*τὰ ἀνετ.*), *Plut.* II *p.* 575 D. Vielleicht *ὅστις.* 2. *Suid. v. δῶρα* (ohne Namen bei *Plat. Rep.* III *p.* 390). 3. *Harpocr. v. ἔργα.* 4. *Mich. Ephes. Arist. Eth. Nicom.* V, 8; den Vers führt Aristoteles an. 5. *Porphyr. de abstin.* II, 18 (vom Opfer).

Einzelne Wörter werden zuweilen aus H. angeführt. *Ὑπερβασίαι δ' ἀλεγειναί Eust. p.* 1318. *Μέγαρα* (die Stadt) *σκιόεντα ib. p.* 1424. *Δαϊζομένου πάλιος* (standen wohl nicht gleich

hintereinander) *Philem. v.* εὐφυής, *Phavor. p.* 781. Ἄφυζα (Löwe) *Schol. Il.* φ, 528. Βασιλεύτατος (von Minos) *Plut. Thes.* 16. Εὐθύνεον *Cramer Anecd.* II *p.* 55. Ἐπιάλτης (ὁ δαίμων) *Suid., Zonar. v.* Ἀμύοντα χαμάζε *Etym. M. p.* 430. Ἄγαλμα (ὁ ὅρμος) *Suid. v.* Βρῖ (τὸ βριθὺ τὸ βριαρόν) *Strab.* VIII *p.* 364, *Eust. p.* 295. Κομιδή (ἡ ἄφιξις) *Suid. v.* Ἀπτερέως *Etym. M. p.* 133, 183.

Bei H. kamen vor die Hyperboreer (*Herod.* IV, 36), der ganze Peloponnes (*Schol. Il.* ι, 246), Aristäos als *Apollo pastoralis* (*Serv. Georg.* I, 14), Eurylochos, der die auf Aegina hausende Schlange vertreibt (*Strab.* IX *p.* 314), der Drache Ladon, Sohn des Typhon, Hüter der Hesperiden (*Schol. Apoll.* IV, 1396), die er Aegle, Arethusa und Hesperusa nannte, Töchter der Nacht, jenseits des Okeans (*Serv. Aen.* IV, 484), Hades als *quinta luna natus* (Serv. *G.* I, 277), das Αἰγαῖον πεδίον bei Kirrha (*Steph. Byz.* Αἰγαῖον), die idäischen Daktyle auf Kreta (*Plin. H. N.* VII, 16), über die eine eigene Schrift Suidas anführt, Amphilochos in Soli von Apoll getödtet (*Strab.* XIV *p.* 676), der Kyknos, den Achill tödtet, mit weissem Kopfe (*Schol. Theocr.* XVI, 49), die zehn Söhne und ebensoviel Töchter der Niobe (*Apollod.* III, 5), dagegen nach Aelian (XII, 36) zusammen neunzehn, die Erbauung der Mauren Thebae's durch die Töne des Zetos und Amphion (*Palaeph.* 42), der Dienst des Apoll bei Admet (*Schol. Eur. Alc.* 1), Busiris elf Menschenalter vor Herakles (*Theo Progymn.* bei *Walz Rhet.* I, 217), Erysichthon Αἴθων genannt διὰ τὸν λιμόν (*Tzetz. Lyc.* 1396. Bei *Bachmann Anecd.* I, 281 wird von ihm angeführt: Ὁ δ' ἀλύξεται αἴθοπα λιμόν. Vgl. *Erg.* 361), Tityos von Elara. Εἰλαρίδης (*Etym. M. p.* 60, Hermann S. 267) und die Astyoche Astydameia genannt (*Schol. Pind. Ol.* VI, 42). Priapos kam nicht vor (*Strab.* XIII *p.* 588), auch nicht das Wort τύραννος (*Schol. Oed. R. argum.*) und die λύγνοι (*Schol. Od.* τ, 34). Einzelnes Genealogische findet sich noch unter H. Namen. Phöbos so genannt von Phöbe der Grossmutter

(*Etym. M. p.* 796, *Schol. Il.* α, 43, *Cramer Anecd.* II p. 432), Brotos, Sohn des Aether und der Hemera (*Etym. M. p.* 215), Sarpedon, Sohn der Europe, deren Geschichte erzählt ward (*Schol. Il.* μ, 292, *Schol. Vat. Eur. Rhes.* 28), Adonis, Sohn des Phönix und der Alphesiböa (*Apollod.* III, 14, 4, *Prob. Virg. Ecl.* X, 18), Euander verwandt mit den Atriden (*Serv. Aen.* VIII, 130), die Aloiden, Söhne des Aloeus, der Alos gegründet, und der Iphimedeia (*Schol. Apoll.* I, 482, *Eudoc. p.* 37), als Gemahlin des Sthenelos Nikippe, Tochter des Pelops (*Schol. Il.* ν, 116 — das eine Scholion ist verdorben), die Aktorionen, die Aristarch aus H. als δύο ἔχοντας σώματα καὶ συμπεφυκότας erwies (*Schol. Il.* ψ, 638, λ, 709, 750, *Eust. p.* 882, 1321, *Apollon. Lex. Hom. Μολίονε*, *Plut. p.* 1083 C), Thamyris geblendet Δωτίῳ ἐν πεδίῳ (*Steph. v. Δώτιον.* Vgl. *Ritschl de Oro et Orione p.* 28 *sq.*, Welcker Gr. Tr. I, 419). Die Notiz des *interpr. Ovid. Metam. I: Tum humanum genus, quod cuncta vinceret, Prometheus Iapeti filius, ut idem H. ostendit, ex humo finxit*, ist irrig (Welcker Trilog. S. 13) und sollte sich wohl auf die Theogonie beziehen. Anderes mit Unrecht dem H. Zugeschriebene gibt Hermann S. 271 f. Auch beim *Schol. Il.* ζ, 35: ἡ ἱστορία παρὰ Δημητρίῳ καὶ Ἡ. ist der Name des H. sicher irrig. Dagegen scheint die Angabe das. ψ, 679: Καὶ Ἡ. δέ φησιν ἐν Θήβαις αὐτοῦ (Οἰδίποδος) ἀποθανόντος Ἀργείαν τὴν Ἀδράστου σὺν ἄλλοις ἐλθεῖν ἐπὶ τὴν κηδείαν αὐτοῦ nicht zu verwerfen.

II. Μελαμποδία.

Paus. IX, 31 zählt unter den dem Hesiod zugeschriebenen Gedichten neben dem Katalogos und den Eöen auf ἐς τὸν μάντιν Μελάμποδα. Schon deshalb kann die Μελαμποδία nicht einen Theil des κατάλογος ausgemacht haben, wie zuerst Groddeck „Bibliothek der alten Litteratur und Kunst" II, 84 annahm. Freilich kam Melampus in den Eöen vor (*fr.* XXXIV) und die Erwähnung der Töchter des Proetos im κατάλογος (*fr.* XVI) hängt mit Melampus zusammen, der

sie heilte (*Apollod.* II, 2), aber eine vollständigere Darlegung seiner Wunder und Thaten gaben sie nicht. Sicher ist das, was der *Schol. Apoll.* I, 118 aus den Eöen anführt, nicht der ganze Inhalt der Melampodie, wie Hermann S. 269 meint.

I. *Athen.* XI *p.* 498 A: *Ἡ. δ' ἐν δευτέρῳ Μελαμποδίας σὺν τῷ π̄ σκύπφον λέγει·*

Τῷ δὲ Μάρης θοὸς ἄγγελος ἦλθε δι' οἴκου,
πλήσας δ' ἀργύρεον σκύπφον φέρε δῶκε δ' ἄνακτι.

καὶ πάλιν·

Καί τ̓ὅτε μάντις μὲν δεσμὸν βοὸς αἴνυτο χερσίν,
Ἴφικλος δ' ἐπὶ νῶτ' ἐπεμαίετο· τῷ δ' ἔπ' ὄπισθεν
σκύπφον ἔχων ἑτέρῃ ἑτέρῃ δὲ σκῆπτρον ἀείρας
ἔστειχεν Φύλακος καὶ ἐνὶ δμώεσσιν ἔειπεν.

V. 2 auch bei *Eust. p.* 900, 1775. V. 3 emendirte Hemsterhuis (*Suid. v.* ἐπιμαίεσθαι) βοός statt βιός, βιοῦ. Vgl. *Apollod.* I, 9, 12.

II. *Athen.* XIII *p.* 609 E: *Ἡ. δ' ἐν τρίτῳ Μελαμποδίας τὴν ἐν Εὐβοίᾳ Χαλκίδα καλλιγύναικα εἶπεν.* Vgl. *Eust. p.* 875.

III. *Tzetz. Lyc.* 682: *Ὡς φησι καὶ ἡ τῆς Μελαμποδίας ποίησις· παρεισάγει γὰρ τὸν Τειρεσίαν λέγοντα* (*Il. p.* 840 *Bachm.*: *ὁ τῆς Μελαμποδίας* [*ποιητής*])·

Ζεῦ πάτερ, εἴθε μοι εὖθ' ἥσσω (μὲν) αἰῶνα βίοιο
ὤφελλες δοῦναι καὶ ἴσα φρεσὶ μήδεα ἴδμεν
θνητοῖς ἀνθρώποις· νῦν δ' οὐδέ με τυτθὸν ἔτισας,
ὅς γε μακρὸν ἔθηκας ἔχειν αἰῶνα βίοιο
ἑπτά μ' ἔτι ζώειν γενεὰς μερόπων ἀνθρώπων.

Hermann S. 263 liest V. 1 *εἰθ' ἥσσω μοι ἔχειν ἀ. β.*, V. 2 *ὤφειλες δ. κ. μήδεα ἴδμεναι ἴσα*, V. 5 *ἐπί.*

Gleich darauf fährt *Tzetz. Lyc.* fort: *Περὶ δὲ τοῦ Διὸς καὶ Ἥρας παρὰ Τειρεσίου ἕνεκα τῆς λαγνείας κρίσεως καὶ ἡ τῆς Μελαμποδίας ποίησις, ὡς ἀπὸ τοῦ Τειρεσίου φησίν·*

Οἶην μὲν μοῖραν δέκα μοιρῶν τέρπεται ἀνήρ,
τὰς δέκα δ' ἐμπίμπλησι γυνὴ τέρπουσα νόημα.

Die beiden letzten Verse auch bei *Apollod.* III, 6 (*τὸ ὑπὸ Τειρεσίου λεχθὲν πρὸς Δία καὶ Ἥραν*). Vgl. *Schol. Od.* κ, 494. Heyne wollte st. *τὰς δέκα ἐννέα.* S. die Erklärer zu *Hygin.* 75.

IV. *Athen.* II *p.* 41 F:

Ἡδὺ (γάρ) ἐστ' ἐν δαιτὶ καὶ εἰλαπίνῃ τεθαλυίῃ
τέρπεσθαι μύθοισιν, ἐπὴν δαιτὸς κορέσωνται.

Ἡ. ἐν Μελαμποδίᾳ φησιν. Γάρ fehlt.

V. *Clem. Strom.* VI, 71: *Ἡ. τε ἐπὶ τοῦ Μελάμποδος ποιεῖ·*

Ἡδὺ δὲ καὶ τὸ πυθέσθαι, ὅσα θνητοῖσιν ἔδειμαν
ἀθανάτοι, δειλῶν τε καὶ ἐσθλῶν τέκμαρ ἐναργές

καὶ τὰ ἑξῆς παρὰ Μουσαίου λαβὼν τοῦ ποιητοῦ κατὰ λέξιν. S. Buttmann Lexil. I, 128 f.

Hierzu rechne ich ferner Folgendes:

VI. *Strab.* XIV *p.* 921: *Ἡ. μὲν οὖν οὕτω πως διασκευάζει τὸν μῦθον· προτεῖναι γάρ τι τοιοῦτο τῷ Μόψῳ τὸν Κάλχαντα·*

Θαῦμα μ' ἔχει κατὰ θυμόν, ἐρινεὸς ὅσσον ὀλύνθων
οὗτος ἔχει μικρός περ ἐών· εἴποις ἂν ἀριθμόν;

τὸν δ' ἀποκρίνασθαι·

Μύριοί εἰσιν ἀριθμόν, ἀτὰρ μέτρον γε μέδιμνος·
εἷς δὲ περισσεύει, τὸν ἐπελθέμεν οὔ κε δύναιο.
ὣς φάτο, καί σφιν ἀριθμὸς ἐτήτυμος εἴδετο μέτρου.
καὶ τότε δὴ Κάλχανθ' ὕπνος θανάτοιο κάλυψεν.

V. 1 nach Xylander statt *ὅσους ὀλίνθους* oder *ὅσσους ὀλύνθους*. V. 4 mit Meineke *Euphorion p.* 103 statt *οὐκ ἂν δύναιο* oder *οὐκ ἐδύναιο*.

VII. *Clem. Strom.* I. *p.* 337:

Μουσάων, αἵτ' ἄνδρα πολυφραδέοντα τιθεῖσιν
θέσπιον αὐδήεντα. Buttmann I, 167.

VIII. *Ib.* V *p.* 716, *Cohort. p.* 63:

Αὐτὸς γὰρ πάντων βασιλεὺς καὶ κοίρανός ἐστιν
ἀθανάτων· τῷ δ' οὔτις ἐρήρισται κράτος ἄλλος.

Buttmann Gramm. I, 335: *ἀθανάτων δέ οἱ οὔτις.* Die Hdschr. haben V. 2 *σέο δ'*, einmal *τε ὅ δ.*

IX. *Ib. p.* 727:

Μάντις δ' οὐδείς ἐστιν ἐπιχθονίων ἀνθρώπων,
ὅστις ἂν εἰδείη Ζηνὸς νόον αἰγιόχοιο.

X. *Schol. Pind. Nem.* II, 1:

Ἐν Δήλῳ τότε πρῶτον ἐγὼ καὶ Ὅμηρος ἀοιδοί
μέλπομεν ἐν νεαροῖς ὕμνοις ῥάψαντες ἀοιδήν
Φοῖβον Ἀπόλλωνα χρυσάορον, ὃν τέκε Λητώ.

III. *Θησέως εἰς ᾅδην κατάβασις*

oder vielmehr, wie es *Pausanias* umschreibt, *ὡς Θησεὺς εἰς τὸν ᾅδην ὁμοῦ Πειρίθῳ καταβαίη*, wodurch der Inhalt gehörig bestimmt ist. Dies übersah Ulrici I, 370, der hierhin oben *fr.* LIV (vielleicht auch LV) zieht.

IV. *Αἰγίμιος.*

I. *Steph. Byz. v. Ἀβαντίς, ὡς Ἡ. ἐν Αἰγιμίου δευτέρῳ περὶ Ἰοῦς·*

Νήσῳ ἐν Ἀβαντίδι δίῃ,
τὴν πρὶν Ἀβαντίδα κίκλησκον θεοὶ αἰὲν ἐόντες,
τὴν τότ' ἐπώνυμον Εὔβοιαν βοὸς ὠνόμασε Ζεύς.

Hermann S. 257 emendirt V. 2:

Εὔβοιαν δὲ βοὸς τότ' ἐπώνυμον ὠνόμασε Ζεύς.

Demnach gehören in das zweite Buch auch die Verse, die *Schol. Eurip. Phoen.* 1123 und *Tzetzes Il. p.* 843 *sq.* aus dem *ὁ Αἰγίμιον ποιήσας* anführen:

II. *Καί οἱ ἐπίσκοπον Ἄργον ἶει κρατερόν τε μέγαν τε*
τέτρασιν ὀφθαλμοῖσιν ὁρώμενον ἔνθα καὶ ἔνθα·
ἀκάματον δὲ οἱ ὦρσε θεὰ μένος, οὐδέ οἱ ὕπνος
πίπτεν ἐπὶ βλεφάροις, φυλακὴ δ' ἔχεν ἔμπεδος αἰεί.

S. *Osann auctar. lex. graec. p.* 131. Vgl. *Apollod.* II, 1, 3: *Κέρκωψ δὲ Ἄργου καὶ Ἰσμήνης τοῦ Ἀσωποῦ θυγατρὸς αὐτὸν (Ἄργον) λέγει.* S. oben *fr.* LXXIX. Auf den Kerkops, den Dichter des Aegimios (*fr.* III), ist auch wohl zu beziehen *Apollod.* II, 1, 5: *Πρὶν δὲ τελευτῆσαι, ἔγημεν (Ναύπλιος) —, ὡς δὲ ὁ τοὺς νόστους γράψας, Φιλύραν, ὡς δὲ Κέρκωψ, Ἡσιόνην.*

III. *Schol. Apoll.* IV, 816: *Ὁ τὸν Αἰγίμιον ποιήσας ἐν δευτέρῳ φησίν, ὅτι ἡ Θέτις εἰς λέβητα ὕδατος ζέοντα ἐνέβαλε τοὺς ἐκ Πηλέως γενομένους αὐτῇ παῖδας βουλομένη*

εἰδέναι, εἰ θνητοί εἰσιν, ἑτέρους δὲ εἰς τὸ πῦρ, ὡς Ἀπολλωνιός φησιν· καὶ δὴ πολλῶν διαφθαρέντων ἀγαναχτῆσαι τὸν Πηλέα καὶ κωλύσαι τὸν Ἀχιλλέα ἐμβληθῆναι εἰς λέβητα.

IV. *Athen.* XI *p.* 503 D: Καὶ ὁ τὸν Αἰγίμιον δὲ ποιήσας, εἴθ' Ἡ. ἐστιν, ἢ Κέρκωψ ὁ Μιλήσιος·

Ἔνθα ποτ' ἔσται ἐμὸν ψυκτήριον, ὄρχαμε λαῶν.

Nach Müller (Dorier II, 481) Worte des Herakles zum Aegimios. Der daselbst XIII p. 557 A genannte und dem Hesiod entgegengestellte Kerkops ist der Pythagoräer. *Diog. Laert.* II, 46 sagt: Καὶ Κέρκωψ Ἡσιόδῳ ζῶντι ἐφιλονείκει.

V. *Schol. Apoll.* III, 587: Ὁ δὲ τὸν Αἰγίμιον ποιήσας διὰ τὸ δέρας αὐτὸν (Φρίξον) αὐθαιρέτως φησὶ προσδεχθῆναι· λέγει δέ, ὅτι μετὰ τὴν θυσίαν ἀγνίσας τὸ δέρας οὕτως ἔστειχεν ὡς τοὺς Αἰήτου δόμους τὸ κῶας ἔχων.

Müller (Dorier II, 482) zieht hierhin noch oben *fr.* XLV, LIV, Buttmann (Mythologus II, 260) *fr.* LXVI, Göttling auch *fr.* LVI, LXXVI. Vgl. Welcker S. 263 ff. Den Inhalt des Ganzen bildete wohl *Apoll.* II, 7, 7 (vgl. *Diod.* IV, 37).

V. Φορωνίς.

I. *Clem. Strom.* I. *p.* 380: Ὅθεν καὶ ὁ τῆς Φορωνίδος ποιητὴς εἶναι αὐτὸν (Φορωνέα) ἔφη

πατέρα θνητῶν ἀνθρώπων.

II. *Etym. M. p.* 339: Ὁ τὴν Φορωνίδα γράφων φησίν· Ἑρμείαν δὲ πατὴρ Ἐριούνιον ὠνόμασ' αὐτόν·

πάντας γὰρ μάκαράς τε θεοὺς θνητούς τ' ἀνθρώπους
κέρδεσι κλεπτρσύναις ἔξαίνυτο τεχνηέσσαις.

Heyne zu *Il.* v, 72 liest κλεπτοσύνῃσιν ἐκαίνυτο, wir κλεπτοσύνῃσι τ' ἐκαίνυτο. Vgl. *Od.* τ, 395 f. ὅς ἀνθρώπους ἐκέκαστο κλεπτοσύνῃ θ' ὅρκῳ τε.

III. *Schol. Apoll.* I, 1129: Ὁ δὲ τὴν Φορωνίδα συνθεὶς γράφων οὕτως·

Ἔνθα γόητες
Ἰδαῖοι Φρύγες ἄνδρες ὀρέστεροι οἰκί' ἔναιον
Κέλμις Δαμναμενεύς τε μέγας καὶ ὑπέρβιος Ἄκμων
εὐπάλαμοι θεράποντες ὀρείης Ἀδρηστείης,

οἳ πρῶτοι τέχνην πολυμήτιος Ἡφαίστοιο
εὗρον ἐν οὐρείῃσι νάπαις ἰόεντα σίδηρον
ἐς πῦρ τ' ἤνεγκαν καὶ ἀριπρεπὲς ἔργον ἔδειξαν.

Welcker Trilogie S. 168 ff., *Lobeck Aglaoph.* 1156 *sq.* Phoroneus erscheint als erster Bildner der noch wilden Menschheit.

IV. *Strab.* X *p.* 710 *sq.*: Ὁ δὲ τὴν Φορωνίδα στέψας (γράψας?) αὐλητὰς καὶ Φρύγας τοὺς Κουρῆτας λέγει. Φρύγες sind auch die *Δάκτυλοι.*

V. *Clem. Strom.* II *p.* 418: Γράφει οὖν ὁ τὴν Φορωνίδα ποιήσας·

Καλλιθόη κλειδοῦχος Ὀλυμπιάδος βασιλείης
Ἥρης Ἀργείης, ἣ στέμμασι καὶ θυσάνοισι
πρώτη ἐκόσμησεν περὶ κίονα μακρὸν ἀνάσσης.

Das Gedicht, das Φορωνηΐς heissen sollte, scheint die erste Bildungsgeschichte der Menschheit enthalten zu haben, nicht die politische. Daher kann ich nicht mit Osann im Hermes B. X hierhin das Orakel ziehen, das dem Karanos, als er von Argos nach Makedonien zog, gegeben worden, angeführt von Euphorion (Hall. Allg. Littz. 1824, 343):

Φράζεο, δῖε Καρανέ, νύῳ δ' ἐμὸν ἔνθεο μῦθον·
ἐκπρολιπὼν Ἄργος τε καὶ Ἑλλάδα καλλιγύναικα
χώρει πρὸς πηγὰς Ἁλιάκμονος· ἔνθα δ' ἂν αἶγας
βοσκομένας ἐσίδῃς, πρῶτον τότε τοι χρέον ἐστίν
ζηλωτὸν ναίειν αὐτὸν γενεάν τε προπᾶσαν.

Zu vergleichen ist hiermit das dem Perdikkas gegebene Orakel (Karanos war nämlich ein Temenide) bei *Diodor. exc. Vat. p.* 3.

Ἔστι κράτος βασιλεῖον ἀγανοῖς Τημενίδεσσι
γαίης πλουτοφόρου· δίδωσι γὰρ αἰγιόχος Ζεύς.
Ἀλλ' ἴθ' ἐπειγόμενος Βοντηΐδα πρὸς πολύμηλον·
ἔνθα δ' ἂν ἀργικέρωτας ἴδῃς χιονώδεας αἶγας
εὐνηθέντας ὑπ' ἠῶ κείνης χθονὸς ἐν δαπέδοισι,
θῦε θεοῖς μακάρεσσι καὶ ἄστυ κτίζε πόληος.

VI. Ἡρακλεῖαι.

Von einer Ἡρακλεία des Kinäthon spricht *Schol Apoll.* I, 1357: Ὅτι δὲ Κιανοὶ ὅμηρα ἔδοσαν Ἡρακλεῖ καὶ ὤμοσαν μὴ λήξειν ζητοῦντες Ἴλαν καὶ φροντίδα ἔχουσι τῶν Τραχινίων διὰ τὸ ἐκεῖσε κατοικισθῆναι ὑφ' Ἡρακλεῖ τοὺς ὁμηρεύσαντας Κιναίθων ἱστορεῖ ἐν Ἡρακλείᾳ. Vgl. *Paus.* II, 3: Κιναίθων δὲ ὁ Λακεδαίμονιος (ἐγενεαλόγησε γὰρ καὶ οὗτος ἔπεσι) Μῆδον καὶ θυγατέρα Ἐριῶπιν Ἰάσονι εἶπεν ἐκ Μηδείας γενέσθαι· πέρα δὲ ἐς τοὺς παῖδας οὐδὲ τούτῳ πεποιημένα εἰσίν, II, 18: Τὸν δὲ Ὀρέστου νόθον Πένθιλον Κιναίθων ἔγραψεν ἐν τοῖς ἔπεσιν Ἱππονόην τὴν Αἰγίσθου τεκεῖν, VIII, 53: Κιναίθων δὲ ἐν τοῖς ἔπεσιν ἐποίησεν, ὡς Ραδάμανθυς μὲν Ἡφαίστου Ἥφαιστος δὲ εἴη Τάλω, Τάλων δὲ εἶναι Κρητὸς παῖδα, *Schol. Il.* γ, 175: Ὡς δὲ Κιναίθων, Νικόστρατον (Ἑλένης καὶ Μενελάου παῖδα εἶναι).

Dass dies Alles in der Heraklee gestanden, wird man mit Ulrici (I, 438 f.) bezweifeln können; aber möglich genug, dass seine Heraklee genealogisch war von Herakles bis auf die spätere Zeit.

Aus dem ersten Buche einer Heraklee des Phädimos führt *Athen.* XI *p.* 498 F den Vers an:

Δουράτεον σκύφος εὐρὺ μελιζώνοιο ποτοῖο.

Dieser Phädimos war wohl der von Bisanthe ἐλεγείων ποιητής (*Steph.* v. *Βισανθή*). Derselbe Athenäos bemerkt XIII *p.* 603 D: Διότιμος δ' ἐν τῇ Ἡρακλείᾳ Εὐρυσθέα φησὶν Ἡρακλέους γενέσθαι παιδικά, διόπερ καὶ τοὺς ἄθλους ὑπομεῖναι. Sehr zweifelhaft ist es, ob diese Ἡρακλεία ein Gedicht gewesen. Prosaisch war wohl die Schrift des Demaratos, in der von Herakles die Rede war (*Schol. Apoll.* I, 1289, *Apollod.* I, 9, 19); von ihm wird sonst noch das erste Buch τραγῳδουμένων erwähnt (*Clem. Cohort. p.* 27 C), aus dem dieses genommen sein könnte. Dasselbe gilt von der des Herodor, aus der ein prosaisches Bruchstück angeführt wird bei *Steph. Byz.* Ἴβηρίαι. S. Weichert S. 172 f. Ueberhaupt war Herodor nicht Dichter; denn beim *Schol. Apoll.* II, 1215: Τὰ αὐτὰ περὶ τοῦ Τυφῶνος καὶ Ἡ. φησιν,

ἔνθα καὶ περὶ τῆς Νύσης ἱστορεῖ λέγων mit zwei Versen, die sonst aus Homer angeführt werden, soll nur gesagt werden, H. habe die homerischen Verse bei dieser Gelegenheit angeführt. Ueberhaupt muss man bei ähnlichen Anführungen der Grammatiker äusserst vorsichtig sein. Weichert S. 164 ff. *Schol. Apoll. Rhod.* I, 1165 führt aus des Κόνων Ἡρακλεία an, ὅτι Αἰγαίων καταγωνισθεὶς ὑπὸ Ποσειδῶνος κατεποντίσθη εἰς τὸ νυνὶ λεγόμενον ὑπὸ Ἀπολλωνίου ἠρίον Αἰγαίωνος, und erwähnt auch dessen drittes Buch περὶ Νησιάδων. Seine Heraklee nennt auch *Eudocia p.* 29 und Osann S. 209 hält ihn für den neben den ältesten Dichtern als μυθοποιός angeführten Kilikier Κόννις bei *Theo Progymn.* 3 (*Rhetores ed. Walz* I, 173). Nach *Clem.-Strom.* VI *p.* 628 B soll Pisander des Pisinos von Lindos Ἡρακλεία, wie Panyasis des Kreophylos Οἰχαλίας ἅλωσις, ausgeschrieben haben. Bei *Plutarch de fluv.* 18, 14 wird angeführt Δημόδοκος ἐν ᾱ Ἡρακλείας, ein Lakedämonier (vgl. *Schol. Od.* γ, 267); eines Korkyräers Demodokos Ἰλίου πόρθησις καὶ Ἀφροδίτης καὶ Ἡφαίστου γάμος nennt *Plut. de mus. p.* 652, wogegen Suidas von Ἀφροδίτης καὶ Ἄρεως συνουσία spricht.

VII. Ναυπάκτια oder Ναυπακτικά.

Paus. IV, 2: Πυθέσθαι δέ που δὴ πάνυ ἐθελήσας, οἵτινες παῖδες Πολυκάονι ἐγένοντο ἐκ Μεσσήνης, ἐπεξελεξάμην τάς τε Ἠοίας καλουμένας καὶ τὰ ἔπη τὰ Ναυπάκτια πρὸς δὲ αὐτοῖς, ὁπόσα Κιναίθων καὶ Ἄσιος ἐγενεαλόγησαν. X, 38: Τὰ δὲ ἔπη τὰ Ναυπάκτια ὀνομαζόμενα ὑπὸ Ἑλλήνων ἀνδρὶ ἐςποιοῦσιν οἱ πολλοὶ Μιλησίῳ, Χάρων δὲ ὁ Πύθεω φησιν αὐτὰ ποιῆσαι Ναυπάκτιον Καρκῖνον· ἐπόμεθα δὲ καὶ ἡμεῖς τῇ τοῦ Λαμψακηνοῦ δόξῃ· τίνα γὰρ καὶ λόγον ἔχοι ἂν ἔπεσιν ἀνδρὸς Μιλησίου πεποιημένοις ἐς γυναῖκας τεθῆναί σφισιν ὄνομα Ναυπάκτια; Also ein Gedicht ähnlich dem κατάλογος γυναικῶν. Vgl. Groddeck S. 90 ff., Weichert S. 210 ff.

I. *Paus.* II, 3: Ἔπη δέ ἐστιν ἐν Ἕλλησι Ναυπάκτια ὀνομαζόμενά· πεποίηται δὲ ἐν αὐτοῖς Ἰάσονα ἐξ Ἰωλκοῦ

μετὰ τὸν Πελίου θάνατον ἐς Κόρκυραν μετοικῆσαι, καὶ οἱ Μέρμερον μὲν τὸν πρεσβύτατον τῶν παίδων ὑπὸ λεαίνης διαφθαρῆναι θηρεύοντα ἐν τῇ πέραν ἠπείρῳ· Φέρητι δὲ οὐδέν ἐστιν ἐς μνήμην προσκείμενον.

II. *Schol. Apoll.* II, 299 (Von den Harpyien): Κοιλάδα τῆς Κρήτης κατέδυσαν· τοῦτο δέ φησι καὶ Νεοπτόλεμος ὁ τὰ Ναυπακτικὰ ποιήσας.

III. *Ib.* III, 242: Ὁ τὰ Ναυπακτικὰ πεποιηκὼς Εὐρυλύτην αὐτὴν (die Gemahlin des Aeetes, Mutter des Absyrtos) λέγει.

IV. *Ib.* III, 513: Ὁ δὲ τὰ Ναυπακτικὰ ποιήσας πάντας ἀριθμεῖ τοὺς ὑπὸ αὐτοῦ φερομένους ἀριστεῖς.

V. *Ib.* III, 523: Ἐν δὲ τοῖς Ναυπακτικοῖς Ἴδμων ἀναστὰς Ἰάσονα κελεύει ὑποστῆναι τὸν ἆθλον.

VI. *Ib.* IV, 59: Παρὰ δὲ τῷ τὰ Ναυπακτικὰ πεποιηκότι οὐκ ἔστι κατὰ τὴν ἰδίαν προαίρεσιν ἐξιοῦσα ἡ Μήδεια, ἀλλ' ἐφ' ἑστίαν καλουμένη· οἱ γὰρ Ἀργοναῦται κατ' ἐπιβουλὴν ἐνστάντος τοῦ τῆς ἀναιρέσεως αὐτῶν καιροῦ προτραπομένου δὲ τοῦ Αἰήτου ἐπὶ τὴν Εὐρυλύτης τῆς γυναικὸς συνουσίαν Ἴδμονος ὑποθεμένου αὐτοῖς ἀποδιδράσκουσιν καὶ Μήδεια συνεκπλεῖ. *Ib.* IV, 86: Ὁ δὲ τὰ Ναυπακτικὰ πεποιηκὼς ὑπὸ Ἀφροδίτης φησὶ τὸν Αἰήτην κατακοιμηθῆναι ἐπιθυμήσαντα τῇ αὐτοῦ γυναικὶ συγγενέσθαι δεδειπνηκότων παρ' αὐτῷ τῶν Κόλχων καὶ κοιμωμένων διὰ τὸ βουλεύεσθαι αὐτὸν τὴν ναῦν ἐμπρῆσαι·

Δή τοτ' ἄρ' Αἰήτῃ πόθον ἔμβαλε δῖ' Ἀφροδίτη
Εὐρυλύτης φιλότητι μιγήμεναι ἧς ἀλόχοιο
κηδομένη φρεσὶν ἧσιν, ὅπως μετ' ἄεθλον Ἰήσων
νοστήσῃ οἶκονδε σὺν ἀγχεμάχοις ἑτάροισιν.

Ὁ δὲ Ἴδμων συνῆκε τὸ γεγονὸς καί φησι·

Φευγέμεναι μεγάροιο θοὴν διὰ νύκτα μέλαιναν.

Ib. IV, 87: Ὁ δὲ τὰ Ναυπακτικὰ γράψας συνεκφέρουσαν αὐτὴν ποιεῖ τὸ κῶας κατὰ τὴν φυγὴν ἐν τῷ οἴκῳ κείμενον τοῦ Αἰήτου. Vgl. Müller Orchomenos S. 298.

VII. *Apollod.* III, 10, 3 von Asklepios: Εὗρον δέ τινας λεγομένους ἀναστῆναι ὑπ' αὐτοῦ Καπανέα καὶ Λυκοῦργον —, Ἱππόλυτον, ὡς ὁ τὰ Ναυπακτικὰ συγγράψας λέγει.

VIII. *Herodian. p.* 15: Παρὰ τῷ τὰ Ναυπακτικὰ ποιήσαντι·

Ἀλλ' ὁ μὲν οὖν ἐπὶ χηρωὶ θαλάσσης εὐρυπόροιο
οἰκία ναιετάασκε πολύῤῥην πολυβοώτης.

IX. *Schol. Il.* o, 336: *Ὁ δὲ τῶν Ναυπακτικῶν ποιητὴς διώνυμον αὐτήν (Ἐριώπην) φησιν·*

Τὴν δὲ μέθ' ὁπλοτάτην Ἐριώπην ἐξονόμαζεν,
Ἀλκιμάχην δὲ πατήρ τε καὶ Ἄδμητος καλέεσκεν.

VIII. Θησηΐδες.

Plut. Thes. 28 thut einer Erwähnung. *Ἦν γὰρ ὁ τῆς Θησηΐδος ποιητὴς Ἀμαζόνων ἐπανάστασιν γέγραφε Θησεῖ γαμοῦντι Φαίδραν τῆς Ἀντιόπης ἐπιθεμένης καὶ τῶν μετ' αὐτῆς Ἀμαζόνων ἀμυνομένων καὶ κτείνοντος αὐτὰς Ἡρακλέους περιφανῶς ἔοικε μυθῷ καὶ πλάσματι.* ***Aristot. Poet.*** 8: *Διὸ πάντες ἐοίκασιν ἁμαρτάνειν, ὅσοι τῶν ποιητῶν Ἡρακληΐδα καὶ Θησηΐδα καὶ τὰ τοιαῦτα ποιήματα πεποιήκασιν· οἴονται γάρ, ἐπεὶ εἷς ἦν ὁ Ἡρακλῆς, ἕνα καὶ τὸν μῦθον εἶναι προσήκειν.* Der ***Schol. Pind. Ol.*** XI, 83 führt ein *ἰαμβεῖον* eines Diphilos an *ὁ τὴν Θησηΐδα ποιήσας* und wahrscheinlich deutet er auch auf ihn ***Ol.*** III, 52 hin: *Θήλειαν δὲ εἶπε καὶ χρυσοκέρων ἀπὸ Ἰστρίας· ὁ γὰρ Θησηΐδα γράψας τοιαύτην αὐτὴν (τὴν Κερυνῖτιν ἔλαφον) λέγει καὶ Πείσανδρος ὁ Καμειρεὺς καὶ Φερεκύδης.* Pythostratos, von dem eine Theseis erwähnt wird (***Diog. Laert.*** II, 59), lebte später; er schrieb Biographien des Epaminondas und Pelopidas. Die Theseis des Zopyros war prosaisch, wie das Fragment aus dem dritten Buche bei ***Stob.*** II *p.* 487 *sq.* ***Gaisf.*** zeigt. Dasselbe gilt von seiner *Μιλήτου κτίσις.*

IX. Eumelos von Korinth.

Eumelos, dem die Titanomachie beigelegt ward, von dem aber ***Paus.*** IV, 4, 1 nur das für die Messenier gedichtete delische Prosodion für ächt erklärte, lebte nach Eusebios um ***Ol.*** 3 und 9. Nach ***Clem. Strom.*** I *p.* 333 war er älter, als Archilochos, und reichte bis zu Archias, dem Gründer von Syrakus. Merkwürdig ist die Nachricht des ***Clem.*** VI p. 629: *Τὰ δὲ Ἡσιόδου μετήλλαξαν εἰς πεζὸν λόγον καὶ ὡς ἴδια*

ἐξήνεγκαν Εὔμηλός τε καὶ Ἀκουσίλαος οἱ ἱστοριόγραφοι. Vgl. auch *Paus.* II, 1, der von Eumelos ὁ Ἀμφιλύτου τῶν Βακχιαδῶν καλουμένων, ὃς καὶ τὰ ἔπη λέγεται ποιῆσαι, erwähnt die Κορινθία συγγραφή, εἰ δὴ Εὐμήλου γε ἡ συγγραφή.

1. Εὐρωπία,

angeführt von *Hieron. chron.* (richtiger Εὐρώπεια).

I. *Clem.* I *p.* 349: Ὁ τὴν Εὐρωπίαν ποιήσας ἱστορεῖ τὸ ἐν Δελφοῖς ἄγαλμα Ἀπόλλωνος κίονα εἶναι διὰ τῶνδε·

Ὄφρα θεῷ δεκάτην ἀκροθίνιά τε κρεμάσαιμεν
σταθμῶν ἐκ ζαθέων καί κίονος ὑψηλοῖο.

II. *Schol. Il.* ζ, 131 (nach der Erzählung der Geschichte von dem Thraker Lykurgos): Τῆς ἱστορίας πολλοὶ ἐμνήσθησαν, προηγουμένως δε Εὔμηλος ὁ τὴν Εὐρωπίαν πεποιηκώς.

III. *Apollod.* III, 8, 2: Εὔμηλος δὲ καί τινες ἕτεροι λέγουσι Λυκάονι καὶ θυγατέρα Καλλιστὼ γενέσθαι.

IV. *Ib.* III, 9, 1 Ἀρκάδος δὲ καὶ Λεανείρας τῆς Ἀμύκλου ἢ Μεγανείρας τῆς Κρύκωνος, ὡς δὲ Εὔμηλος λέγει, νύμφης Χρυσοπελείας ἐγένοντο παῖδες Ἔλατος καὶ Ἀφείδας. *Tzetz. Lyc.* 408 berichtet dasselbe aus Eumelos.

V. *Ib.* III, 11, 1: Ἐκ Κνωσσίας δὲ νύμφης (Μενέλαος) κατὰ Εὔμηλον Ξενόδαμον (ἐγέννησεν). Die drei letzteren Fragmente zieht hierhin *Heyne ad Apollod.* II, 356.

VI. *Paus.* IX, 2: Ὁ δὲ τὰ ἔπη ἐς Εὐρώπην ποιήσας φησὶν Ἀμφίονα χρῆσθαι λύρᾳ πρῶτον Ἑρμοῦ διδάξαντος· πεποίηκε δὲ καὶ λίθων καὶ θηρίων, ὅτι καὶ ταῦτα ᾄδων ἦγεν.

VII. Hierhin zieht Welchert S. 195, was *Tzetz. Hes. Erg. p.* 23 *Gaisf.*, *Eudoc. p.* 294 und der Grammatiker bei *Ruhnken Epist. crit. p.* 222 erwähnen: Εὔμηλος μέντοι ὁ Κορίνθιος τρεῖς φησιν εἶναι θυγατέρας Ἀπόλλωνος (Μούσας) Κηφισσοῦν, Ἀπολλωνίδα, Βορυσθενίδα. Für Ἀπολλωνίδα setzt Hermann (*Opusc.* II, 301) Ἀχελωΐδα — sehr scharfsinnig. Nun wird aber von *Clem. Strom.* VI *p.* 742 aus Eumelos erwähnt:

Μνημοσύνης καὶ Ζηνὸς Ὀλυμπίου ἐννέα κοῦραι,

wo Hermann (299) meint, es sei die Frage, ob dies aus einer ächten Schrift des Eumelos herkomme. Welchert,

der diesen Vers als Anfang der *Εὐρωπία* vermuthet, bemerkt richtig, eine solche verschiedene Auffassung der Musen im Gedichte als die drei Töchter des Apollo und am Anfange als Töchter des Zeus, wie bei Hesiod, sei nicht so sehr auffallend.

Hierhin rechnet Osann S. 210 ein dem Kadmos ertheiltes Orakel aufbewahrt von den *Schol. Eur. Phoen.* 641, *Arist. Ran.* 1256 und *Tzetzes Il. p.* 754. Vgl. denselben im *auctarium graecorum lexicorum p.* 127 *sqq.*:

Φράζεο δή μοι μῦθον, Ἀγήνορος ἔκγονε Κάδμε·
Ἣοῦς ἐγρόμενος προλιπὼν ἴδι Πυθὼ δῖαν
ἠθάδ' ἔχων ἐσθῆτα καὶ αἰγανέην μετὰ χερσίν
τὴν διά τε Φλεγύων καὶ Φωκίδος, ἔστ' ἂν ἵκηαι
βούκολον ἠδὲ βόας κηριτρεφέος Πελάγοντος·
ἔνθαδε προσπελάσας ξυλλάμβανε βοῦν ἐρίμυκον
τήν, ἥ κεν νώτοισιν ἐπ' ἀμφοτέροισιν ἔχῃσι
λευκὸν σῆμ' ἑκάτερθε περίδρομον ἤϋτε μηνίς,
τήνδε σὺ ἡγεμόνα σχὲ περιῤῥίπτοιο κελεύθου·
σῆμα δέ τοι ἐρέω μαλ' ἀριφραδές, οὐδέ σε λήσει·
ἔνθα τέ τοι πρώτιστα βοὸς τέρας ἀγραύλοιο
ἵζηται κλίνῃ τε πέδῳ γόνυ ποιήεντι,
καὶ τότε τὴν μὲν ἔπειτα μελαμφύλλῳ χθονὶ ῥέζειν
ἁγνῶς καὶ καθαρῶς· γαίῃ δ' ὅταν ἱερὰ ῥέξῃς,
ὄχθῳ ἐπ' ἀκροτάτῳ κτίζειν πόλιν εὐρυάγυιαν
δεινὸν ἐνυαλίου πέμψας φύλακ' ἄϊδος εἴσω·
καὶ σύγ' ἐν ἀνθρώποις ὀνομάκλυτος ἔσσεαι αἰεί
ἀθανάτων λέχε' ἀντιόωσας, ὄλβιε Κάδμε. V. 8 *Tz.* *περίτροχον*, 9 *ἡγέμον' ἴσχε*, V. 20 *Tz.* und die *Schol.* *κέρας*, V. 26 *Tz.* *ἐπ' ἀνθρώπους* — *ἔσσεαι αὖθις*, 27 *λεχέων ἀντήσας.*

---

2. *Κορινθιακά.*

I. *Schol. Apoll.* I, 146: *Γλαύκου δὲ αὐτὴν (Λήδαν) τοῦ Σισύφου ἐκ πατρὸς ἐν Κορινθιακοῖς λέγει Εὔμηλος καὶ Παντειδυίας μητρὸς ἱστορῶν, ὅτι τῶν ἵππων ἀπολομένων ἦλθεν εἰς Λακεδαίμονα ὁ Γλαῦκος καὶ ἐκεῖ ἐμίγη*

Παντειδυίᾳ, ἣν ὕστερον γήμασθαι Θεσπίου, τὴν δὲ Λήδαν οὖσαν Γλαύκου κληθῆναι Θεσπίου.

II. *Ib.* II, 946: *Σινώπη κατ' Εὔμηλον καὶ Ἀριστοτέλην Ἀσωποῦ.*

III. *Ib.* III, 1371: *Οὗτος καὶ οἱ ἑξῆς στίχοι εἰλημμένοι εἰσὶ παρ' Εὐμήλου, παρ' ᾧ Μήδεια πρὸς Ἴδμονα λέγει.*

IV. *Ib.* IV, 1212 (vom Namen der Stadt Ἐφύρα Korinth): *Εὔμηλος δὲ ἀπὸ Ἐφύρας τῆς Ὠκεανοῦ καὶ Τηθύος γυναικὸς δὲ γενομένης Ἐπιμηθέως.*

V. *Schol. Pind. Ol.* XIII, 74 und *Tzetzes Lyc.* 174 (vgl. 1024) führen aus Eumelos, ὁ *ποιητὴς ἱστορικός*, an:

Ἀλλ' ὅτε δ' Αἰήτης καὶ Ἀλωεὺς ἔξεγένοντο
Ἠελίου τε καὶ Ἀντιόπης, τότε δ' ἄνδιχα χώρην
δάσσατο παισὶν ἑοῖς Ὑπερίονος ἀγλαὸς υἱός·
ἣν μὲν ἔχ' Ἀσωπός, ταύτην πόρε δίῳ Ἀλωεῖ,
ἣν δ' Ἐφύρη κτεάτισσ', Αἰήτῃ δῶκεν ἅπασαν.
Αἰήτης δ' ἄρ' ἑκὼν Βούνῳ παρέδωκε φυλάττειν,
εἰσόκεν αὐτὸς ἵκοιτ' ἢ ἐξ αὐτοῖό τις ἄλλος
ἢ παῖς ἢ υἱωνός· ὃ δ' ὤχετο Κολχίδα γαῖαν.

Die zwei letzten Verse bei *Tzetzes:* εἰ. αὖ. *ἀνὴρ εἰς ὕστερον αὖθις ἵκοιτο ἢ ἐξ αὐτοῖό τις:* ὁ u. s. w. *Paus.* II, 3: *Εὔμηλος δὲ Ἥλιον ἔφη δοῦναι τὴν χώραν Ἀλωεῖ μὲν τὴν Ἀσωπίαν Αἰήτῃ δὲ τὴν Ἐφυραίαν· καὶ Αἰήτην ἀπιόντα ἐς Κόλχους παρακαταθέσθαι Βούνῳ τὴν γῆν Βοῦνον δὲ Ἑρμοῦ καὶ Ἀλκιδαμείας εἶναι· καί, ἐπεὶ Βοῦνος ἐτελεύτησεν, οὕτως Ἐπωπέα τὸν Ἀλωέως καὶ τὴν Ἐφυραίων σχεῖν ἀρχήν· Κορίνθου δὲ ὕστερον τοῦ Μαραθῶνος οὐδένα ὑπολειπομένου παῖδα τοὺς Κορινθίους Μήδειαν μεταπεμψαμένους ἐξ Ἰωλκοῦ παραδοῦναι οἱ τὴν ἀρχήν· βασιλεύειν μὲν δὴ δι' αὐτὴν Ἰάσονα ἐν Κορίνθῳ, Μηδείᾳ δὲ παῖδας μὲν γίγνεσθαι, τὸ δὲ ἀεὶ γινόμενον κατακρύπτειν αὐτὸ εἰς τὸ ἱερὸν φέρουσαν τῆς Ἥρας, κατακρύπτειν δὲ ἀθανάτους ἔσεσθαι νομίζουσαν· τέλος δὲ αὐτήν τε μαθεῖν, ὡς ἡμαρτήκοι τῆς ἐλπίδος, καὶ ἅμα ὑπὸ Ἰάσονος φωραθεῖσαν (οὐ γὰρ αὐτὸν ἔχειν δεομένῃ συγγνώμην ἀποπλέοντα ἐς Ἰωλκὸν οἴχεσθαι), τούτων δὲ εἵνεκα ἀπελθεῖν καὶ Μήδειαν παραδοῦσαν Σισύφῳ τὴν ἀρχήν.* Vgl. *Schol. Eur. Med.* 10, 20: *Ὅτι δὲ*

βεβασίλευκε τῆς Κορίνθου ἡ Μήδεια Εὔμηλος ἱστορεῖ καὶ Σιμωνίδης. Paus. II, 2: *Τάφους δὲ Σισύφου καὶ Νηλέως (καὶ γὰρ Νηλέα ἀφικόμενον ἐς Κόρινθον νόσῳ τελευτῆσαι, φασι καὶ περὶ τὸν Ἴσθμον ταφῆναι) οὐκ ἄν οὐδ' εἰ ζητοίη τις ἐπιλεξάμενος εὕροι τὰ Εὐμήλου. Νηλέως μὲν γὰρ οὐδὲ Νέστορι ἐπιδειχθῆναι ὑπὸ τοῦ Σισύφου φασί (χρῆναι γὰρ τοῖς πᾶσιν ἄγνωστον εἶναι), Σίσυφον δὲ ταφῆναι μὲν ἐν τῷ Ἰσθμῷ, τὸν δὲ οἱ τάφον καὶ τῶν ἐφ' ἑαυτοῦ* (Eumelos. *Lobeck Aglaophamus p.* 284)· *Κορινθίων ὀλίγους εἶναι τοὺς εἰδότας.*

Hieronymus schreibt dem Eumelos noch ein Gedicht *Bugonia* zu. *Varro Re R.* II, 5: *Denique ex hoc putrefacto (tauro) nasci dulcissimas apes mellis matres, a quo eas Graeci βούγονας appellant. — Sed bono animo es: non minus tibi satisfaciam, quam qui Bugoniam scripsit.* Da aber der Name *βουγενεῖς* erst in der alexandrinischen Zeit aufgekommen sein soll (Voss zu Virgil's Landbau. S. 821), so kann dieses Gedicht dem alten Eumelos nicht angehören. Irrig hat man statt *Bugonia* vermuthet *Buphonia* oder gar *Theogonia.* Welchert S. 191 ff. Beim *Schol. Pind. Ol.* XIII, 51: *Τοῦτο δὲ διὰ τὸν Εὔμολπον ὄντα Κορίνθιον καὶ γράψαντα νόστον τῶν Ἑλλήνων* hat man *Εὔμηλον* emendirt. Sicher ist hier an keinen andern Dichter zu denken. Welcker S. 274 ff.

X. Asios von Samos.

Bei *Athen.* III *p.* 125 B. heisst er *ὁ Σάμιος ποιητὴς Ἄσιος ὁ παλαιὸς ἐκεῖνος*, bei *Paus.* VII, 2 *ὁ Ἀμφιπτολέμου Σάμιος.* Neben Eumelos, Hesiodos und Pherekydes nennt ihn *Apollod.* III, 8, 2. Er lebte um die zehnte Olympiade. *Mueller de Minerva Pol. p.* 41. Vgl. *Callini Tyrtaei Asii carminum quae supersunt ed. Nic. Bach Lips.* 1831, Nachtrag 1832.

I. *Athen.* XII p. 525 E, F: *Ἔστι δὲ τὰ τοῦ Ἀσίου ἔπη (περὶ τῆς τῶν Σαμίων τρυφῆς) οὕτως ἔχοντα·*

Οἱ δ' αὖτως φοιτέεσκον, ὅπως πλοκάμους κτενίσαιντο,
εἰς Ἥρης τέμενος πεπυκάσμενοι εἵμασι καλοῖς·
χιονέοισι χίτωσι πέδον χθονὸς εὐρέος εἶχον,
χαῖται δ' ἠωρεῦντ' ἀνέμῳ χρυσέοις ἐνὶ δεσμοῖς,
χρύσειαι δὲ κόρυμβαι ἐπ' αὐτῶν τέττιγες ὥς,
δαιδάλεοι δὲ χλιδῶνες ἄρ . . . . . ησαν
ἀμφιβραχιονίσαντες ὑπασπίδιον πολεμιστήν.

V. 3 Näke πέδου, Hermann dabei statt εἶχον ἄχρι, V. 6 Bach ἀριπρεπέες ἐφάνησαν, Dindorf ἄρ' ἀμφὶ βραχίοσιν ἦσαν, Hermann ἀρήροτες ἀμφοτέρωθεν, V. 7 Näke ἀμφιβρ. st. ἀμφὶ βραχίοσι νήσαντες.

II. *Paus.* II, 6:

Ἀντιόπη δ' ἔτεκεν Ζῆθον καὶ Ἀμφίονα δῖον
Ἀσωποῦ κούρη ποταμοῦ βαθυδινήεντος
Ζηνί τε κυσσαμένη καὶ Ἐπωπέϊ ποιμένι λαῶν.

III. *Paus.* VIII, 1:

Ἀντίθεον δὲ Πελασγὸν ἐν ὑψικόμοισιν ὄρεσσιν
γαῖα μέλαιν' ἀνέδωκεν, ἵνα θνητῶν γένος εἴη.

IV. *Schol. Od.* δ, 797 *p.* 170 *Buttm.*:

Κοῦραι τ' Ἰκαρίοιο Μέδη καὶ Πηνελόπεια.

V. *Strab. p.* 265 A: Ἄσιον τὸν ποιητὴν φήσαντα, ὅτι τὸν Βοιωτὸν

Λίου ἐνὶ μεγάροις τέκεν εὐειδὴς Μελανίππη

ὡς πρὸς ἐκεῖνον ἀχθεῖσαν τὴν Μελανίππην οὐ πρὸς τὸν Μέταβον.

VI. *Paus.* II, 29: Φιόκῳ δὲ Ἄσιος ὁ τὰ ἔπη ποιήσας γενέσθαι φησὶ Πανοπέα καὶ Κρῖσον· καὶ Πανοπέως μὲν ἐγένετο Ἐπειὸς ὁ τὸν ἵππον τὸν δούρειον, ὡς Ὅμηρος ἐποίησεν, ἐργασάμενος· Κρίσου δὲ ἦν ἀπόγονος τρίτος Πυλάδης Στροφίου τε ὢν τοῦ Κρίσου καὶ Ἀναξιβίας ἀδελφῆς Ἀγαμέμνονος.

VII. *Ib.* III, 13: Θέστιον γὰρ τὸν Λήδας πατέρα Ἄσιός φησιν ἐν τοῖς ἔπεσιν Ἀγήνορος παῖδα εἶναι τοῦ Πλευρῶνος. Statt Ἄρειος setzte zuerst *Palmerius Exerc. p.* 384 Ἄσιος. Siebelis denkt an den Ἀρεὺς ὁ Λάκων, dessen ᾄσμα Κύκνος genannt wird (*Anton. Liber.* 12).

VIII. *Ib.* V, 17: Ἄσιος δὲ ἐν τοῖς ἔπεσι καὶ Ἀλκμήνην

ἐποίησε θυγατέρα Ἀμφιαράου καὶ Ἐριφύλης εἶναι. Statt Αἴσιος setzte Ἄσιος zuerst Sylburg.

IX. *Ib.* VII, 4: Ἄσιος δὲ ὁ Ἀμφιπτολέμου Σάμιος ἐποίησεν ἐν τοῖς ἔπεσιν, ὡς Φοίνικι ἐκ Περιμήδης τῆς Οἰνέως γένοιτο Ἀστυπάλαια καὶ Εὐρώπη, Ποσειδῶνος δὲ καὶ Ἀστυπαλαίας εἶναι παῖδα Ἄγκαιον βασιλεύειν δὲ αὐτὸν τῶν καλουμένων Λελέγων· Ἀγκαίῳ δὲ τὴν θυγατέρα τοῦ ποταμοῦ λαβόντι τοῦ Μαιάνδρου Σαμίαν γενέσθαι Περίλαον καὶ Ἔνουδον καὶ Σάμον καὶ Ἀλιθέρσην καὶ θυγατέρα ἐπ' αὐτῷ Παρθενόπην Παρθενόπης δὲ τῆς Ἀγκαίου καὶ Ἀπόλλωνος Αυκομήδην γενέσθαι. Ἄσιος μὲν ἐς τοσοῦτον ἐν τοῖς ἔπεσιν ἐδήλωσεν. *Paus.* IV, 2: Ὁπόσα Κιναίθων καὶ Ἄσιος ἐγενεαλόγησαν.

X. *Paus.* IX, 23: Εἶναι δὲ Ἀθάμαντος καὶ Θεμιστοῦς παῖδα τὸν Πτῶον, ἀφ' οὗ τῷ τε Ἀπόλλωνι (Πτῴῳ) ἐπίκλησις καὶ τῷ ὄρει τὸ ὄνομα ἐγένετο, ὡς Ἄσιος ἐν τοῖς ἔπεσιν ἐδήλωσεν.

XI. *Apollod.* III, 8, 2: Ἡσίοδος μὲν γὰρ αὐτὴν (Καλλιστώ) μίαν εἶναι τῶν νυμφῶν λέγει, Ἄσιος δὲ Νυκτέως, Φερεκύδης δὲ Κητέως (θυγατέρα).

XI. Chersias von Orchomenos.

Er lebte zur Zeit des Periandros von Korinth (um *Ol.* 38). Vgl. *Plut. Sept. Sapient. Conviv. p.* 156, 163 *sq. Paus.* IX, 38: Ὁμολογεῖ δὲ καὶ ἔπη, ἃ ἐποίησε Χερσίας ἀνὴρ Ὀρχομένιος·

Ἐκ δὲ Ποσειδάωνος ἀγακλειτῆς τε Μιδείας
Ἀσπληδὼν γένεθ' υἱὸς ἀν' εὐρύχορον πτολίεθρον.

Οὐδὲ τοῦ Χερσίου τῶν ἐπῶν οὐδεμία ἦν ἔτι κατ' ἐμὲ μνήμη, ἀλλὰ καὶ τάδε ἐπηγάγετο ὁ Καλλιππος ἐς τὸν αὐτὸν λόγον τὸν ἔχοντα ἐς Ὀρχομενίους· τούτου δὲ τοῦ Χερσίου καὶ ἐπίγραμμα οἱ Ὀρχομένιοι τὸ ἐπὶ τῷ Ἡσιόδου τάφῳ μνημονεύουσι. Dieses Epigramm in zwei Distichen gibt *Paus.* in demselben Kapitel. Vgl. *Tzetz. Hesiod. p.* 14. S. Müller's Orchomenos S. 211.

Dem Xenophanes wird von *Diog. Laert.* IX, 20 *Κολοφῶνος κτίσις καὶ εἰς Ἐλέαν ἀποικισμός* an zweitausend Verse zugeschrieben*). *Eust. Il. p.* 700 gibt aus den *Διονυσιάκά* eines unbekannten Dichters den Vers (von Zeus bei der Geburt des Bakchos):

Εὖ εἰδὼς πόνον ἄλλον ἐπὶ στονόεντι κάρητι.

Als orphisch werden des Niklas *Βακχικά* angeführt und von denen des Eumolpos bei *Diod.* I, 11 und *Tzetz. Il. p.* 777 der Vers:

Ἀστροφαῆ Διόνυσον ἐν ἀκτίνεσσι πυρωπόν.

D) Priesterlich-mystisches Epos.

I. Epimenides von Kreta.

Vgl. *Heinrich Epimenides* (Leipzig 1801), *Hoeck* Kreta B. 3 S. 246 ff. Von Epimenides, den Solon zur Sühne *Ol.* 46, 3 nach Athen rief, sagt *Paus.* I, 14, nachdem er seines vierzigjährigen Schlafes Erwähnung gethan: *καὶ ὕστερον ἔπη ἐποίησε.* Von ihm werden angeführt bei *Diog. Laert.* I, 10 *Κουρήτων καὶ Κορυβάντων γένεσις καὶ Θεογονία* in fünftausend, *Ἀργοῦς ναυπηγία τε καὶ Ἰάσονος εἰς Κόλχους ἀπόπλους* in sechstausend fünfhundert, *περὶ Μίνω καὶ Ραδαμάνθυος* in viertausend Versen. Sonst werden noch von ihm

*) Welcker (Rhein. Mus. III, 358) vermuthet, aus diesem Gedichte sei der bei *Diog. Laert.* VIII, 36 aus Xenoph. (*ἐν ἐλεγείᾳ*) angeführte Vers:

Νῦν οὖν τ' ἄλλον ἔπειμι λόγον δείξω δὲ κέλευθον

und das Gedicht sei, wie des Panyasis *Ἰωνικά*, in Distichen geschrieben gewesen. *Eust. Od. p.* 1885 spricht von einem *ὁ τὰ Ναξιακὰ γράψας εἴτε Φιλτέας εἴτε Καλλῖνος* und hiervon führt *Tzetz. Lyc.* 633 das dritte Buch an. Dass diese Schrift prosaisch gewesen, zeigt besonders das *Etym. M. p.* 795: *Φιλτέας δὲ ἐστὶν ὁ καλούμενος ἱστορικὸς ὁ τὰ Νάξια συνθείς.* S. *Bach Philetae reliquiae p.* 82, 272. Anders Welcker. Der Amorginer Simonides schrieb eine *ἀρχαιολογία τῶν Σαμίων* wohl in Distichen. Anderes dieser Art übergehen wir.

erwähnt *περὶ χρησμῶν*, aus dem der Vers beim Apostel *Paulus Tit.* I, 42:

Κρῆτες ἀεὶ ψεῦσται κακὰ θηρία γαστέρες ἀργαί

entlehnt sein soll (*Hieron.* VII *p.* 471, *Socrat.* III, 16, *Niceph.* X, 26), *καθαρμοί* (*Suid. Strab.* X *p.* 734 *Ἐ. τὸν τοὺς καθαρμοὺς ποιήσαντα διὰ τῶν ἐπῶν*), die *Τελχινιακὴ τέχνη* (*Athen.* VIII *p.* 262 F: *ὁ τὴν T. τ. συνθείς, εἴτ' Ἐπιμενίδης ἐστὶν ὁ Κρὴς ἢ Τηλεκλείδης εἴτ' ἄλλος τις, ἱερούς φησιν εἶναι ἰχθύας δελφῖνας καὶ πομπίλους. Lobeck Aglaoph. p.* 1183) u. a. Die Aechtheit der *Κουρήτων καὶ Κορυβάντων γένεσις* bezweifelt *Lobeck p.* 1141. Die Schriften *περὶ θυσιῶν, περὶ τῆς ἐν Κρήτῃ πολιτείας* (*Eratosth. Catast.* 27: *Ἐ. ὁ τὰ Κρητικὰ ἱστορῶν*; der *interpr. Germ. Arat. p.* 43 citirt einen *qui Cretica scripsit*) u. a. waren prosaisch. Wir geben kurz alle uns bekannten Fragmente.

I. *Schol. Oed. Col.* 42, *Tzetz. Lyc.* 406:

Ἐκ τοῦ (*Κρόνου*) *καλλίκομος γένετο χρυσῇ Ἀφροδίτη*
Μοῖραί τ' ἀθάνατοι καὶ Ἐριννύες αἰολόδωροι.

Heyne Apollod. p. 6 will *αἰολόδειροι*, Heinrich *αἰολόμορφοι* — unnöthig. Vgl. Voss Mythol. Briefe II, 286.

II. *Paus.* VIII, 18: *Ἐ. δὲ ὁ Κρὴς εἶναι μὲν καὶ οὗτος θυγατέρα Ὠκεανοῦ τὴν Στύγα ἐποίησε, συνοικεῖν δὲ αὐτὴν οὐ Πάλλαντι, ἀλλὰ ἐκ Πείραντος Ἔχιδναν τεκεῖν, ὅστις δὴ ὁ Πείρας ἐστίν.*

III. *Schol. Apoll.* II, 1125: *Καὶ οὗτος* (*Ἡσίοδος*) *μέν φησιν αὐτοὺς* (*Φρίξου παῖδας*) *τέσσαρας Ἄργον Φρόντιν Μέλανα Κυτίσωρον, Ἐ. δὲ καὶ πέμπτον προστίθησι Πρέσβωνα.*

IV. *Ib.* III, 42: *Ἐ. δέ φησι Κορίνθιον τῷ γένει τὸν Αἰήτην, μητέρα δὲ αὐτοῦ Ἐφύραν φησί.*

V. *Ib.* IV, 57: *Ἐ. δὲ αὐτὸν* (*Ἐνδυμίωνα*) *παρὰ θεοῖς διατρίβοντα ἐρασθῆναι φησὶ τῆς Ἥρας, διόπερ Διὸς χαλεπήναντος αἰτήσασθαι διαπαντὸς καθεύδειν.*

VI. *Schol. Theocr.* I, 3: *Ἐ. δὲ ἐν τοῖς ποιήμασι αὐτοῦ Διὸς καὶ Καλλιστοῦς Πᾶνα καὶ Ἀρκάδα διδύμους* (*λέγει*). Dasselbe berichtet *Schol. Vat. Eur. Rhes.* 36, wo statt *Ἀρκάδῳ* zu lesen *Ἀρκάδα*.

VII. *Damasc. de princ. p.* 383 *Kopp: Τὸν δὲ Ἐ. δύο*

πρώτας ἀρχὰς ὑποθέσθαι Ἀέρα καὶ Νύκτα, ἐξ ὧν γεννηθῆναι Τάρταρον — ὧν μιχθέντων ἀλλήλοις ὠὸν γενέσθαι, — ἐξ οὗ πάλιν ἄλλην γενεὰν προελθεῖν. Brandis Handb. der Gesch. der Griechisch-Römischen Philosophie S. 83.

VIII. Nach dem *Schol. Pind. Ol.* I, 127 stimmt Epimenides mit Hesiod (*fr.* XXIX) in der Zahl und den Namen der von Oenomaos Getödteten überein.

IX. *Schol. Eur. Phoen.* 13: Ἐ. Εὐρυκλείαν τὴν Ἐχφαντός φησιν αὐτὸν (Διὸς) γεγαμηκέναι, ἐξ ἧς εἶναι τὸν Οἰδίποδα.

X. *Lyd. de mens.* IV, 13: Οἱ περὶ Ἐ. ἄῤῥενα καὶ θήλειαν ἐμύθευσαν τοὺς Διοσκούρους τὸν μὲν Αἰῶνα ὥσπερ μονάδα τὴν δὲ Φύσιν ὡς δυάδα καλέσαντες· ἐκ γὰρ μονάδος καὶ δυάδος ὁ πᾶς ζωογονικὸς καὶ ψυχογονικὸς ἐξεβλάστησεν ἀριθμός. S. Zoega's Abhandl. S. 189.

XI. *Schol. Pind. Ol.* VII, 24: Ἐ. δὲ αὐτὴν (Ῥόδον) Ὠκεανοῦ γενεαλογεῖ, ἀφ' ἧς τὴν πόλιν ὠνόμασθαι. Böckh erinnert hierbei an einen Epimenides, der in dorischer Sprache über Rhodos geschrieben (*Diog. Laert.* I, 10, 13).

XII. *Aelian. Hist. An.* XII, 7: Λέγει δὲ καὶ τὰ Ἐπιμενίδου ἔπη·

Καὶ γὰρ ἐγὼ γένος εἰμὶ σελήνης ἠϋκόμοιο,
ἣ δεινὸν φρίξασ' ἀπεσείσατο θῆρα λέοντα
ἐν Νεμέᾳ ἀνάγουσ' αὐτὸν διὰ πότνιαν Ἥραν.

So schrieb *Bentley ad Phalar. p.* 335 den dritten Vers st. ἐν νεμεαίᾳ ἄγουσ'. Vgl. *Heyne Apoll. p.* 142, *Meineke Euphor. p.* 111.

XIII. *Arist. Pol.* I, 2: Ἡ μὲν οὖν εἰς πᾶσαν ἡμέραν συνεστηκυῖα κοινωνία κατὰ φύσιν οἰκός ἐστιν, οὓς Χάρωνδας μὲν καλεῖ ὁμοσιπύους, Ἐ. δὲ ὁ Κρὴς ὁμοκάπους.

XIV. *Arist. Rhet.* III, 17: Τὸ γεγονός, ὃ ἐπιστητὸν ἤδη καὶ τοῖς μάντεσιν, ὡς ἔφη Ἐ. ὁ Κρής.

XV. *Interpr. Germ. Arat. p.* 70 *Buhle: Epimenides dicit in Ida utrosque (Iovem et Capricornum) nutritos et ad Titanum bellum cum Iove esse profectum, quem Iuppiter victor astris intulit, quod eius opera di armati essent, itemque matrem eius Capram, quod Dicolon invenisset in mari, ideo piscis cauda notatam.*

II. Musäos.

Unter dem Namen des Musäos wurde schon frühe eine Menge halbmystischer Schriften umhergetragen, die man in das höchste Alterthum hinauf verlegte. Wir übergehen hier die *χρησμοί, τελεταί, καθαρμοί, παραλύσεις, ἀκέσεις νόσων, σφαῖρα, κρατήρ, ὕμνοι,* die *Εὐμολπία ποίησις* oder *ὑποθῆκαι* und sprechen bloss von den epischen Gedichten. Im Allgemeinen vgl. Passow „Musäos" Einleitung. Der *Schol. Apoll.* III, 1178 (aus ihm *Eudoc. p.* 248) berichtet: *Ἐν τῷ τρίτῳ τῆς Μουσαίου Τιτανογραφίας λέγεται, ὡς Κάδμος ἐκ τοῦ Δελφικοῦ ἐπορεύετο προκαθηγουμένης αὐτῷ τῆς βοός.* Hierzu kommt hinzu *Lactant. de falsa relig.* I, 21: *Amaltheae corio usum esse pro scuto Iovem contra Titanas dimicantem auctor est Musaeus.* Daneben wird eine *Θεογονία* des Musäos, die nach *Pompon. Sabin. Virg. Aen.* VI, 667 die erste ihrer Art gewesen sein soll, von *Diog. Laert.* I, 3 erwähnt. Zu ihr scheinen die aus Musäos erwähnten mythologischen Bruchstücke zu gehören.

I. *Eratosth. Catast.* 13: *M. γάρ φησι Δία γεννώμενον ἐγχειρισθῆναι ὑπὸ Ρέας Θέμιδι, Θέμιν δὲ Ἀμαλθείᾳ δοῦναι τὸ βρέφος, τὴν δὲ ἔχουσαν αἶγα ὑποθεῖναι τὴν δ' ἐκθρέψαι Δία.* Dasselbe bei *Hygin. Astron.* II, 13 und dem *Interpr. German. Arat. p.* 53.

II. *Schol. Apoll.* III, 1034 (Vgl. zu III, 467): *Μουσαῖος ἱστορεῖ Δία ἐρασθέντα Ἀστερίας μιγῆναι καὶ μιγνύντα δοῦναι τῷ Περσεῖ, ἐξ ἧς τεχθῆναι αὐτῷ τὴν Ἑκάτην.*

III. *Ib.* III, 1: *Ἐν τοῖς εἰς Μουσαῖον ἀναφερομένοις δύο ἱστοροῦνται γενέσεις Μουσῶν πρεσβυτέρων μὲν μετὰ τοῦ Κρόνου γενομένων νεωτέρων δὲ τῶν ἐκ Διὸς καὶ Μνημοσύνης.*

IV. *Paus.* I, 14: *Ἔπη δὲ ᾄδεται Μουσαίου μέν, εἰ δὴ Μουσαίου καὶ ταῦτα, Τριπτόλεμον παῖδα Ὠκεανοῦ καὶ Γῆς εἶναι.*

V. *Harpocrat. Μελίτη: Κεκλῆσθαι δέ φησι τὸν δῆμον (Κεκροπίδα) Φιλόχορος ἐν τρίτῃ ἀπὸ Μελίτης θυγατρὸς κατὰ μὲν Ἡσίοδον Μύρμηκος κατὰ δὲ Μουσαῖον Δίου τοῦ Ἀπόλλωνος.*

VI. *Diog. Laert.* I, 3: *Καὶ τὸν μὲν Μουσαῖον φάναι ἐξ ἑνὸς τὰ πάντα γενέσθαι καὶ εἰς ταὐτὸν ἀναλύεσθαι.*

VII. *Hygin. Astron.* II, 21: *Pleiades appellatae sunt, ut ait Musaeus, quod ex Atlante et Pleione Oceani filia procreatae, quorum quinque Hyades appellatas demonstrat, quod earum Hyas fuerit frater a sororibus plurimum dilectus, qui, quum venans a leone esset interfectus, quinque — lamentationibus assiduis permotae, dicuntur interisse. — Reliquas autem decem sorores deliberasse de sororum morte et earum septem sibi mortem consciisse, quare, quod plures idem senserunt, Pleiades dictas. Interpr. Germ. Arat. p.* 65: *Musaeus filias Atlantis fuisse septem, ex quibus sex claraè sunt una obscura.* Das. *p.* 56: *M. et ista refert: Ex Atlante et Hya duodecim filiae procreatae sunt et filius Hyas, quem dum ab apro vel leone occisum sorores omnes nimis diligentes flerent, obierunt, e quibus quinque stellas figuratas Hyades appellaverunt, septem autem Pleiades.* Vgl. *Serv. Virg. G.* I, 138.

VIII. *Schol. Apoll.* III, 1377: *Περὶ τῶν διατρεχόντων ἀστέρων καὶ ῥαδίως ἀφανιζομένων τὸν λόγον ποιεῖται — τὰς δὲ τοιαύτας φαντασίας ὁ Μουσαῖος ἀναφερομένας φησὶν ἐκ τοῦ ὠκεανοῦ κατὰ τὸν αἰθέρα ἀποβέβηνσθαι· τοὺς δὲ ὑπὸ Μουσαίου ἀστέρας εἰρημένους* u. s. w.

IX. *Ib.* IV, 156: *Ἡ δὲ ἄρκευθος Ἀπόλλωνος ἴδιον, ὡς ἱστορεῖται ἐν τρίτῳ τῶν εἰς Μουσαῖον ἀναφερομένων.*

X. *Arist. H. Anim.* VI, 6, *Plut. Marius* 36 (vom Adler): *Ἐπὶ τοῖς λεγομένοις Μουσαίου ἔπεσιν·*

Ὃς τρία μὲν τίκτει δύο δ' ἐκλέπει ἓν δ' ἀλεγίζει.

XI. Noch kommen einzelne Aussprüche vor. Bei *Arist. Polit.* VIII, 5:

Βροτοῖς ἥδιστον ἀείδειν.

Homer soll Folgendes von Musäos nachgeahmt haben (*Clem. Strom.* VI *p.* 618 *sq.*):

Ὡς αἰεὶ τέχνη μέγ' ἀμείνων ἰσχύος ἐστίν.
Ὡς δ' αὔτως καὶ φύλλα φύει ζείδωρος ἄρουρα
ἄλλα μὲν ἐν μελίῃσιν ἀποφθίνει ἄλλα δὲ φύει·
ὣς δὲ καὶ ἀνθρώπου γενεὴ καὶ φύλλον ἐλίσσει.

Und das Fragment der Melampodie V S. 55 soll wörtlich aus Musäos sein.

Zwei Erwähnungen kommen aus einem Gedichte περὶ Ἰσθμίων vor. *Schol. Apoll.* III, 1239: *Μουσαῖος ἐν τῷ περὶ Ἰσθμίων δύο φησὶ γίνεσθαι ἀγῶνας ἐν τῷ Ἰσθμῷ καὶ τὸν μὲν Ποσειδῶνος εἶναι τὸν δὲ Μελικέρτου.* *Schol. Eur. Med.* 9: *Ὅτι δὲ καὶ ἀθάνατος ἦν ἡ Μήδεια, Μουσαῖος ἐν τῷ περὶ Ἰσθμίων ἱστορεῖ ἅμα καὶ περὶ τῶν τῆς ἀκραίας Ἥρας ἑορτῶν ἐκτιθείς.* Die Isthmien könnten dem Ephesier Musäos angehören. Passow S. 90 f. Der Schrift περὶ Θεσπρωτῶν, die Eugammon ausgeschrieben, thut nur *Clem. Strom.* VI *p.* 751, dem *Euseb. Praep. ev.* X, 12 folgt, Erwähnung.

III. Orphisches.

Unter den sogenannten orphischen Gedichten sind episch-erzählend die Θεογονία (*Menander* bei *Walz p.* 144, 150, *Alex. Aphrod. Arist. Meteor.* II. *in.*) und die κατάβασις ἐς ᾅδου, letztere dem Prodikos zugeschrieben oder dem Kerkops, dem Pythagoräer (*Clem. Strom.* I *p.* 397, *Suid.*). Vgl. *Lobeck Aglaophamus lib.* II, Bode *Orpheus poetarum graecorum antiquissimus*, Brandis S. 59 ff.

1. Θεογονία.

I. Als Anfang führt *Ioannes Malela p.* 41 an (die drei ersten Verse *Tzetz. Il. p.* 777 *sq.* und das Ganze, nur nicht genau, *Cedrenus p.* 57):

Ὦ ἄναξ Λητοῦς υἱ' ἑκατήβολε Φοῖβε κραταιέ
πανδερκὲς θνητοῖσι καὶ ἀθανάτοισιν ἀνάσσων
Ἠέλιε χρυσέαισιν ἀειρόμενε πτερύγεσσι,
δωδεκάτην δὴ τήνδε παρὰ (παραὶ) σέο ἔκλυον ὀμφὴν
σεῦ φαμένου σὲ δέ γ'αὐτὸν, ἑκήβολε, μάρτυρα θείην.

II. Das Erste, was vor der Welt da war, war der Χρόνος (*Proclus Crat.* 71, *Tim.* I, 86 u. A. *Lobeck* 470 ff.), von dem Χάος und Αἰθήρ (*Procl. Tim.* I, 54, II, 117). Vom Chaos (*Simplic. Ausc.* IV, 123):

Οὐδέ τι πεῖρας ἔην οὐδὲ (οὐ) πυθμὴν οὐδέ τις ἕδρη

(*Procl. Parmen.* VI, 101 führt an: *οὐδέ τι πείρας ὑπῆν*). *Syrianus Metaph.* II *p.* 33 A (vgl. *Simplic.*):

Χάος καὶ μέγα χάσμα πελώριον ἔνθα καὶ ἔνθα. *Procl. Tim.* II, 117: *Οὔτε δὲ πέρας οὔτε πυθμὴν οὔτε ἕδρα περὶ αὐτήν ἐστιν, ἀζηχὲς δὲ αὖ σκότος καὶ αὕτη ὀνομάζοιτο ἄν, Parmen.* VII, 168: *Ἀδιακρίτων πάντων κατὰ σκοτόεσσαν ὁμίχλην, φησὶν ὁ Θεόλογος.*

III. *Damasc. Quaest.* 147 (vgl. *Simpl. Ausc.* I, 31 B):

Ἔπειτα δ' ἔτευξε μέγας Χρόνος αἰθέρι δίῳ
ᾠὸν ἀργύφεον.

Procl. Crat. 79, *Tim.* III, 160, *Parmen.* VII, 153, *Euclid. Elem.* II, 43:

Τὸ δ' ἀπειρέσιον κατὰ κύκλον
ἀτρύτως ἐφορεῖτο.

Ὡρμήθη δ' ἀνὰ κύκλον ἀθέσφατον. Brandis S. 60f.

IV. Aus dem Weltei entwickelt sich *Μῆτις, Φάνης, Ἠρικεπαῖος* (*Cedren. p.* 57). *Hermias Phaedr. p.* 141 (V. 3, 4 *Procl. Tim.* II, 132):

Πρωτόγονόν γε μὲν οὔτις ἐπέδρακεν ὀφθαλμοῖσιν
εἰ μὴ Νὺξ ἱερὴ μούνη· οἱ δ' ἄλλοι ἅπαντες
θαύμαζον καθορῶντες ἐν αἰθέρι φέγγος ἄελπτον·
τοῖον ἀπέστραπτεν χροὸς ἀθάνατοιο Φάνητος.

Procl. ἀπέστιλβεν. *Procl. Crat.* 36, *Tim.* II, 137, *Damasc.* 346 u. A.

Εὐδαίμονα σέμνον
Μῆτιν σπέρμα φέροντα θεῶν κλυτόν, ὅντε Φάνητα
πρωτόγονον μάκαρες κάλεον κατὰ μακρὸν Ὄλυμπον.

Etym. M. v. Φάνης:

Τὸν δὲ καλέουσι Φάνητα
ἀθάνατοι, ὅτι πρῶτος ἐν αἰθέρι φαντὸς ἔγεντο.

Clem. Strom. VI *p.* 672:

Ἀρχαίου σχισθέντος ὑπὲκ πολυχανδέος ᾠοῦ.

Ἀρχαίου emendire ich statt *κραμαίου*. Lobeck *ἀκμαίου*. Hermann denkt an *Ἠρικεπαῖος*. Vgl. *ἀρχαίου χάους Argon.* 15. *Lactant. inst. div.* I, 5:

Πρωτόγονος Φαέθων περιμήκεος Αἰθέρος υἱός *).

*) Diese Vorstellungen befanden sich nach *Damascius* 380 *ἐν ταῖς φερομέναις ῥαψῳδίαις Ὀρφικαῖς*. Derselbe erwähnt noch

V. *Athen.* XX, 296:

Αὖτε Φάνης ἄλλην γενεὴν τεκνώσατο δεινήν
νηθύος ἐξ ἱερῆς προσιδεῖν φοβερωπὸν ἔχιδναν,
ἧς χαῖται μὲν ἀπὸ κρατὸς καλόν τε πρόσωπον
ἦν ἐσιδεῖν νὺ δὲ λοιπὰ μέρη φοβεροῖο δράκοντος
αὐχένος ἐξ ἄκρου (αὖτε schreibe ich statt ἂν δέ oder τὸν δέ, τὴν δέ). *Procl. Tim.* II, 137, IV, 267 (Vgl. *Alcib.* 65):

Αὐτὸς ἧῆς γὰρ παιδὸς ἀφείλετο κούριον ἄνθος

(Phanes liebt seine Tochter, die Nacht. *Κούριον* für *κούριμον* Hermann).

Ποιμαίνων προπίδεσσιν ἀνόμματον ὠκὺν ἔρωτα.

Procl. 102 (*Βρόμιος* heisst *Φάνης*):

Βρόμιός τε μέγας καὶ Ζεὺς ὁ πανόπτης.
Καὶ Μῆτις πρῶτος γενέτωρ καὶ Ἔρως πολυτερπής.

Ders. *Alcib.* 66, 233:

Ἄβρὸς Ἔρως καὶ Μῆτις ἀτάσθαλος.
Οἷσιν ἐπεμβεβαὼς δαίμων μέγας αἰὲν ἐποιχνεῖ.

(*Lob.* *ἐποιχνεῖ* st. *ἐπίσχνη, ἐπ' ἴχνη*).

VI. Phanes, den *O.* *κληῖδα νόου* nannte (*Procl. Tim.* IV, 267), erschafft die Welt. Brandis S. 61. *Lactant.* a. a. O., *Procl. Tim.* I, 38; *Simplic. Auct.* IV, 150:

Ἔκτισεν ἀθανάτοις δόμον ἄφθιτον.

---

zweier anderen Ansichten. Zu der einen *κατὰ τὸν Ἱερώνυμον καὶ Ἑλλανικόν* gehört sicher der Vers bei *Athenag.* XVIII, 18:

Ὠκεανός, ὅσπερ γένεσις πάντεσσι τέτυκται,

Die dritte schrieb er dem Peripatetiker Eudemos zu. Hierhin zieht *Lobeck Procl. Tim.* 130, der von Orpheus erwähnt: *Πρῶτος γοῦν ὁ θεὸς παρ' αὐτῷ ζώων κεφαλὰς φέρει καὶ ἴας ταυρίους ὄφιας χαροποῦ τε λέοντος* (woraus er macht:

Κρίου καὶ ταύρου τ' ὄφιας χαροποῦ τε λέοντος). — *Καὶ ἐν αὐτῷ πρώτῳ τὸ θῆλυ καὶ ἄῤῥεν·*

Θῆλυς καὶ γενέτωρ κρατερὸς θεὸς Ἠριχεπαῖος.

Dazu bei *Herm. Tim.* 137:

Τέτρασιν ὀφθαλμοῖσιν ὁρώμενος ἔνθα καὶ ἔνθα (*Aegim. fr.* II, 2).

Χρυσείαις πτερύγεσσι φορεύμενος ἔνθα καὶ ἔνθα.

Suid. v. Φάνης (*Eudoc. p.* 413): *Ἐν τοῖς Ὀρφικοῖς εἰσηνέχθη ὁ Φάνης αἴθριον ἔχων περὶ τὴν πυγήν.*

Διώρισέ τ' ἀνθρώποισι
χωρὶς ἀπ' ἀθανάτων ναίειν ἕδος, οὔ μέσος ἄξων
ἠελίου τρέπεται πετινεύμενος οὔτε τι λίην
ψυχρὸς ὑπὲρ κεφαλῆς οὔτ' ἔμπυρος ἀλλὰ μεσηγύς·
τοῖον ἑλὼν διένειμε θεοῖς θνητοῖσί τε κύσμιον (*fr.* XI Note).

Von der Sonne *Macrob. Sat.* I, 17. 18, *Procl. Tim.* V, 308:

Τήκων αἰθέρα δῖον ἀκίνητον πρὶν ἐόντα
ἔξανέφηνε θεοῖς ὥραν κάλλιστον ἰδέσθαι,
ὃν δὴ νῦν καλέουσι Φάνητά τε καὶ Διόνυσον*)
Εὐβουλῆά τ' ἄνακτα καὶ Ἀνταύγην ἀρίδηλον·
ἄλλοι δ' ἄλλο καλοῦσιν ἐπιχθονίων ἀνθρώπων·
πρῶτος δ' ἐς φάος ἦλθε Διώνυσος τ' ἐπεκλήθη,
οὕνεκα δινεῖται κατ' ἀπείρονα μακρὸν Ὄλυμπον,
ἀλλαχθεὶς δ' ὄνομ' ἔσχε προζωννυμίας πρὸς ἕκαστον
παντοδαπὰς κατὰ καιρὸν ἀμειβομένοιο χρόνοιο·
Ἥλιον, ὃν Διόνυσον ἐπίκλησιν καλέουσιν.

Von der Bildung des Mondes *Procl.* III, 154, IV, 283, 256, I, 29:

Μήσατο δ' ἄλλην γαῖαν ἀπείριτον, ἣν τε σελήνην
ἀθάνατοι κλῄζουσιν ἐπιχθόνιοι δέ τε μήνην,
ἣ πόλλ' οὔρε' ἔχει πόλλ' ἄστεα πολλὰ μέλαθρα. —
Ὅφρ' ἐν μηνὶ τρέπῃ, ὅπερ ἥλιος εἰς ἐνιαυτόν. —
Καὶ φύσεως κλυτὰ ἔργα μένῃ καὶ ἀπείριτος αἰών.

Von Phanes spricht der Vers bei *Procl.* II, 95:

(Ταῦτα) πατὴρ ποίησε κατὰ σπέος ἠροειδές.

VII. Der Nacht übergibt Phanes die Herrschaft. *Procl. Crat.* 59, *Herm. Phaedr.* 145:

Σκῆπτρον δ' ἀριδείκετον εἷο χείρεσσι
θῆκε θεᾶς νυκτὸς (ἵν' ἔχῃ) βασιληΐδα τιμήν.
Μαντοσύνην δέ οἱ δῶκεν ἔχειν ἀψευδέα πάντων.

Ohne Namen führt *Procl. Crat.* 97 an:

Θεῶν τροφὸς ἀμβροσίη Νύξ.

Herm. p. 141, 144, *Procl. Tim.* III, 137:

Ἡ δὲ πάλιν γαῖάν τε καὶ οὐρανὸν εὐρὺν ἔτικτε,

*) *Diodor.* I, 11 führt an:

Τούνεκά μιν καλέουσι Φάνητά τε καὶ Διόνυσον.

V. 2 ist wohl δῶρον zu lesen.

δεῖξεν τ' ἐξ ἀφανῶν φανερούς, οἵτ' εἰσὶ γενέθλη.
(δεῖξεν st. δεῖξαι Lob.) Achill. Tat. Arat. 85: Ὁ τοῦ Ὀρφέως Οὐρανὸς οὖρος καὶ πάντων φύλαξ εἶναι βούλεται.

Kinder des *Uranos* und der *Ge* (*Athenag.* XVIII, 18). *Herm.* 141, *Procl. Tim.* II, 100:

Οἱ Ζηνὶ βρόντην τε πόρον τεῦξάν τε κεραυνόν
πρῶτοι Τεκτονόχειρες, οἳ Ἥφαιστον καὶ Ἀθήνην
δαίδαλα πάντ' ἐδίδαξαν, ὅσ' οὐρανὸς ἐντὸς ἐέργει.

Von der τρίτη γονή der Ge *Procl. Tim.* III, 137, V, 295, *Damasc.* 187, *Athenag.* a. a. O.:

Ἑπτὰ μὲν εὐειδεῖς κούρας ἐλικώπιδας ἁγνάς
ἑπτὰ δὲ παῖδας ἄνακτας ἐγείνατο λαχνήεντας.
Θυγατέρας μὲν (πρῶτα) Θέμιν καὶ ἴφθρονα Τηθὺν
Μνημοσύνην τε βαθυπλόκαμον Θείαν τε μάκαιραν
ἠδὲ Διώνην τίκτεν ἀριπρεπὲς εἶδος ἔχουσαν
Φοίβην τε Ρείην τε Διὸς γενέτειραν ἄνακτος.
Κούρους δ' Οὐρανίωνας ἐγείνατο πότνια Γαῖα,
οὓς δὴ καὶ Τιτῆνας ἐπίκλησιν καλέουσιν,
οὕνεκα τισάσθην μέγαν Οὐρανὸν ἀστερόεντα,
Κοῖόν τε Κρεῖόν τε μέγαν Φόρκυν τε κραταιόν
καὶ Κρόνον Ὠκεανόν θ' Ὑπερίονά τ' Ἰάπετον τε.
Ἐκ πάντων δὲ Κρόνον Νὺξ ἔτρεφε καὶ ἀτίταλλεν. —
Ὡς ἐνόησ' αὐτοὺς (μὲν) ἀμείλιχον ἦτορ ἔχοντας
καὶ φύσιν ἐκνομίην . . . . . ,
ῥίπτε βαθὺν γαίης ἐς Τάρταρον (Uranos die Hekatoncheiren und Kyklopen).

VIII. *Procl. Tim.* V, 295 *sq.*:

Ἔνθ' οὖν Ὠκεανὸς μὲν ἔνι μεγάροισιν ἔμιμνεν
ὁρμαίνων, ποτέρωσε νόον τράποι ἢ πατέρα ὃν
γυιώσῃ τε βίης καὶ ἀτάσθαλα λωβήσαιτο
σὺν Κρόνῳ ἠδ' ἄλλοισιν ἀδελφοῖς, οἳ πεπίθοντο
μητρὶ φίλῃ, ἢ τούς γε λιπὼν μένοι ἔνδον ἐκηλος·
πολλὰ δὲ πορφύρων μένεν ἤμενος ἐν μεγάροισι
σκυζόμενος ᾗ μητρὶ κασιγνήτοισι δὲ μᾶλλον.

(Für γνώσῃ Lobeck γυιώσῃ, für ἧμενος Hermann ἤμενος). Kronos führt gegen Uranos, der den Söhnen prophezeit (*Procl. Tim.* I, 54, 57):

Τιτῆνες κακομῆται ὑπέρβιον ἦτορ ἔχοντες. —
Καὶ κρατεροί περ ἐόντες ἀμείνονος ἀντιβάσαντες
ὕβριος ἀντ' ὀλοῆς καὶ ἀτασθαλίης ὑπερόπλου . . .

IX. Die Titanen unter Kronos. *Plat. Cratyl. p.* 402:

Ὠκεανὸς πρῶτος καλλίῤῥοος ἦρξε γάμοιο,
ὅς ῥα κασιγνήτην ὁμομήτορα Τηθὺν ὄπυιε. *Lact.* I, 13:
Πρώτιστος μὲν ἄνασσεν ἐπιχθονίων Κρόνος ἀνδρῶν,
ἐκ δὲ Κρόνου γένετ' αὖτις ἄναξ μέγας εὐρυόπα Ζεύς.

Procl. Hes. Erg. 126: *Ὁ μὲν Ὅ. τοῦ ἀργυροῦ γένους βασιλεύειν φησὶ τὸν Κρόνον,* 113: *Τὸν Κρόνον ἀεὶ μελαίνας ἔχειν τὰς ἐπὶ γενείου τρίχας φησὶν Ὅ.,* *Theol.* V, 10: (Ὅ.) *ἀεὶ μελαίνας τὰς τοῦ Κρονίου προσώπου τρίχας μυστικῶς λέγει καὶ μηδαμῶς γίγνεσθαι πολιάς. — Ὁ Ὅ. — διατάττεται ὑπὸ Ζηνὶ Κρονίωνι ἀθάνατον αἰῶνα καμεῖν . . καθαροῖο γενείου . . διερὰς χαίτας εὐώδεας οὐδὲ . . . . ἠπεδανοῖο μιγήμεναι ἄνθεϊ λευκῷ . . ἀλλ' ἐριθηλέα λάχνην.* Grösstentheils mit Hermann schreiben wir:

Ὑπὸ Ζηνὶ Κρονίωνι
ἀθάνατον τ' αἰῶνα λαχεῖν καθαροῖο γενείου
καὶ διερὰς χαίτας εὐώδεας οὐδέ ποτ' αὐτοῖς
γήραος ἠπεδάνοιο μιγήμεναι ἄνθεϊ λευκῷ
. . . . . ἀλλ' αἰεὶ ἐριθηλέα λάχνην.

Von den Menschen hiess es (*Plut. Symp.* VIII, 4):

Ζῶον δ' ἴσον ἀκροκόμοισι
φοινίκων ἔρνεσσι. Okeanos wohnte *Θεσπεσίαις* (*οισι*) *ῥεέθροις* und Ge gebar den Nereus, Thaumas, Eurybias

Πόντῳ φιλότητι μιγεῖσα (*Procl.* 295).

X. Zeus wird geboren und bemächtigt sich der Herrschaft. *Procl. Tim.* II, 121: *Μένει πάρθενος* (Themis) *κατὰ τοὺς χρησμοὺς τῆς Νυκτός*

Ἥς τ' ἂν παῖδα τέκοι Ῥείη Κρόνῳ ἐν φιλότητι.

Herm. Phaedr. p. 48: *Ἀδράστεια — ἀδελφὴ τῆς Εἴδης·*

Εἴδη τ' εὐειδὴς καὶ ὁμόσπορος Ἀδρηστείη,
ἣ καὶ πρὸ ἄντρου τῆς Νυκτὸς ἠχεῖν λέγεται τοῖς κυμβάλοις·
Παλάμῃσι δὲ χάλκεα ῥόπτρα
δῶκεν Ἀδρηστείῃ. Von derselben *Procl. Theol.* IV, 16:
Χάλκεα ῥόπτρα λαβοῦσα καὶ τύμπανα ἠχήεντα (τ. ἠ.

Lob. statt τύμπανον αἴγηκες). Drei Kureten tanzen um Zeus (*Procl.* V, 3, VI, 13). Kronos wird von Honig trunken, worauf zu beziehen (*Procl. Polit.* 388, *Clem. Strom.* VI, 751):

Ἔνθα Κρόνος μὲν ἔπειτα φαγὼν δολόεσσαν ἐδωδὴν
κεῖτο μέγα ῥέγκων (*Lob.* ῥέγκων st. ἐλέγχων).
Κεῖτ' ἀποδοχμώσας παχὺν αὐχένα, κἀδ δέ μιν ὕπνος
ᾕρει πανδαμάτωρ (*Od.* ι, 371). *Porphyr.* A. N. 16: Ἡ
Νὺξ τῷ Διῒ ὑποτιθεμένη τὸν διὰ τοῦ μέλιτος δόλον·
Εὖτ' ἂν δή μιν ἴδηαι ὑπὸ δρυσὶν ὑψικόμοισιν
ἔργοισιν μεθύοντα μελισσάων ἐριβόμβων,
αὐτίκα μιν δῆσον,
ᾧ καὶ πάσχει ὁ Κρόνος καὶ δεθεὶς ἐκτέμνεται ὡς Οὐρανός.

Procl. Tim. III, 156 erwähnt zwei Aphroditen bei der Entmannung des Uranos und eine andere von Zeus mit der Dione.

. . . Μηδέα δ' ἄμ πέλαγος πέσεν ὑψόθεν, ἀμφὶ δε τοῖσι
λευκὸς ἐπιπλώουσιν ἑλίσσετο παντόθεν ἀφρός·
ἐν δὲ περιπλομέναις ὥραις ἐνιαυτὸς ἔτικτε
παρθένον αἰδοίην, ἣν δὴ παλάμαις ὑπέδεκτο
γεινομένην τὸ πρῶτον ὁμοῦ Ζῆλός τ' Ἀπάτη τε.
Τὸν δὲ πόθος πλέον εἶλ', ἀπὸ δ' ἔκθορε πατρὶ μεγίστῳ
αἰδοίων ἀφροῖο γονή, ὑπέδεκτο δὲ πόντος
σπέρμα Διὸς μεγάλου, περιτελλομένου δ' ἐνιαυτοῦ
ὥραις καλλιφύτοις τέκ' ἐγερσιγέλωτ' Ἀφροδίτην.

Zeus fragt die Nacht (*Procl. Tim.* II, 63, 96, V, 294, *Simpl. Ausc.* IV, 150):

Μαῖα θεῶν ὑπάτη Νὺξ ἄμβροτε, πῶς, τάδε φράζε,
πῶς χρὴ μ' ἀθανάτων ἀρχὴν κρατερόφρονα θέσθαι;

Auf die Antwort der Nacht fragt er von Neuem:

Πῶς δέ μοι ἔν τι τὰ πάντ' ἔσται καὶ χωρὶς ἕκαστον;

Und sie räth ihm:

Αἰθέρι πάντα πέριξ ἀφάτῳ λάβε τῷ δ' ἐνὶ μέσσῳ
οὐρανόν ἐν δέ τε γαῖαν ἀπείριτον ἐν δὲ θαλάσσαν
ἐν δὲ τὰ τείρεα πάντα, τά τ' οὐρανὸς ἐστέφανωται.
αὐτὰρ, ἐπὴν δεσμὸν κρατερὸν ἐπὶ πᾶσι τανύσσῃς,
σειρὴν χρυσείην ἐξ αἰθέρος ἀρτήσαντα . . .

Zum Kronos spricht er (vgl. auch *Procl. Alc.* 74, *Olympiod.* 15):

Ὄρθον δ' ἡμετέρην γενεήν, ἀριδείκετε δαῖμον.

XI. Zeus verschlingt die Welt, um sie wieder an's frohe Licht zu bringen: *Procl. Tim.* II, 96:

1. *Τούνεκα σὺν τῷ παντὶ Διὸς πάλιν ἐντὸς ἐτύχθη*
αἰθέρος εὐρείης ἠδ' οὐρανοῦ ἄγλαον ὕψος
πόντου τ' ἀτρυγέτου γαίης τ' ἐρικυδέος εὗρη
ὠκεάνός τε μέγας καὶ νείατα τάρταρα γαίης
καὶ ποταμοὶ καὶ πόντος ἀπείριτος ἄλλα τε πάντα
πάντες τ' ἀθάνατοι μάκαρες θεοὶ ἠδὲ θέαιναι,
ὅσσα τ' ἔην γεγαῶτα καὶ ὕστερον ὁππόσ' ἔμελλεν,
ἐγγένετο, Ζηνὸς δ' ἐνὶ γαστέρι σύρρα πεφύκει.

Ders. *Parm.* IV, 227:

Αὕτη δὲ Ζηνὸς ἐν ὄμμασι πατρὸς ἄνακτος
ναίουσ' ἀθάνατοί τε θεοὶ θνητοί τ' ἄνθρωποι,
ὅσσα τ' ἔην γεγαῶτα καὶ ὕστερον ὁππόσ' ἔμελλεν.

V. 1 liest *Lob.* *αὐτόθι δή.*

2. *Ζεὺς πρῶτος γένετο Ζεὺς ὕστατος ἀργικέραυνος*
Ζεὺς κεφαλὴ Ζεὺς μέσσα, Διὸς δ' ἐκ πάντα τέτυκται.
Ζεὺς πυθμὴν γαίης τε καὶ οὐρανοῦ ἀστερόεντος
Ζεὺς βασιλεὺς Ζεὺς αὐτὸς ἁπάντων ἀρχιγένεθλος·
ἓν κράτος εἷς δαίμων γένετο μέγας ἀρχὸς ἁπάντων.
ἓν δὲ δέμας βασίλειον, ἐν ᾧ τάδε πάντα κυκλεῖται,
πῦρ καὶ ὕδωρ καὶ γαῖα καὶ αἰθὴρ νύξ τε καὶ ἦμαρ.

V. 5 bei *Procl.* auch sonst, V. 2 *Theol.* VI, 8, V. 2, 3 sehr häufig, nur *ἀρχή* st. *κεφαλή* (*Lob.* 529 *sq.*), V. 5—7 bei *Clem. Strom.* VI, 726. Die Verse stehen mit einigen vermehrt am Ende des Buches *de mundo*, vielfach weiter ausgeführt aber bei *Euseb. Praep. ev.* III, 9, *Stob. Ecl. phys.* I, 3. *Tzetz. Lyc. p.* 259 führt V. 1, 2 als aus einem orphischen Hymnus an. In jenen Erweiterungen schliessen sich an V. 7 an die Verse bei *Procl.* 63, 99:

3. *Πάντα τάδε κρύψας αὖτις φάος ἐς πολυγηθές*
μέλλεν ἀπὸ κραδίης προφέρειν πάλι θέσκελα ἔργα.

Clem. a. a. O. hat diese Verse, wie sie auch *de mundo* stehen:

Πάντας γὰρ κρύψας αὖτις (καὖθις) φάος ἐς πολυγηθές
ἐξ ἱερῆς κεφαλῆς ἀνενέγκατο μέρμερα ῥέζων.

4. *Ὡς τότε πρωτογόνοιο χανὼν μένας Ἠρικεπαίου*
τῶν πάντων δὲ δέμας εἶχεν ἐνὶ γαστέρι κοίλῃ,

μίξε δ' ἐοῖς μελέεσσι θεοῦ δύναμίν τε καὶ ἀλκήν·
τούνεκα σὺν τῷ παντὶ Διὸς πάλιν ἐντὸς ἐτύχθη.

Procl. a. a. O. Lies V. 2 τῶν πάντων δέμας εἶχεν ἔπειθ' ε. γ. κ. **Procl. Crat. 53:** Ὁ. δημιουργοῦντα αὐτὸν (Δία) τὴν οὐρανίαν πᾶσαν γενεὰν παραδίδωσι καὶ ἥλιον ποιοῦντα καὶ σελήνην καὶ τοὺς ἄλλους ἀστρῳους θεοὺς δημιουργοῦντα δὲ καὶ τὰ ὑπὸ σελήνην στοιχεῖα. Bei der Bildung der Welt steht die Δίκη dem Zeus bei (**Procl. Tim. V, 310, Theol. VI, 8**):

Τῷ δὲ Δίκη πολύποινος ἐφέσπετο πᾶσιν ἀρωγός *).

XII. Die einzelnen Götter. Von der Demeter (**Procl. Crat. 96, 161**):

Ῥείην τὸ πρὶν ἐοῦσαν, ἐπεὶ Διὸς ἔπλετο μήτηρ.
Μήσατο γὰρ προπόλους καὶ ἀμφιπόλους καὶ ὀπηδούς
μήσατο δ' ἀμβροσίην καὶ ἐρυθροῦ νέκταρος ἄρθρον
μήσατο δ' ἀγλαὰ δῶρα μελισσάων ἐριβόμβων.

Procl. 85: Ἄνω μὲν γὰρ οὖσα Ῥέα ἐστὶ κάτω δὲ μετὰ τοῦ Διὸς Δημήτηρ. Zeus verbindet sich mit der Here, die ἰσοτελής heisst (**Procl. Tim. II, 137, V, 315**). Von Athene (**Procl. Tim. I, 41, 51 sq., Polit. 377**):

Ὅπλοις λαμπομένην χαλκήϊον ἄνθος ἰδέσθαι.
Ὅφρ' αὐτῷ μεγάλων ἔργων κράντειρα γένοιτο. (Beide Verse von ihrer Geburt.)
Δεινὴ γὰρ Κρονίδαο νόου κράντειρα τέτυκται.
Ἀρετῆς ὄνομ' ἐσθλόν
κλῄζεται.
Ἥδε γὰρ ἀθανάτων προφερεστάτη ἐστὶν ἁπάσεων
ἰστὸν ὑφήνασθαι (oder ἐποίχεσθαι) ταλασήϊα τ' ἔργα
πινύσσειν.

---

*) **Syrian. Metaph. 114 A** führt über die aufeinanderfolgenden Weltherrscher folgende Verse an:

Τοῖον ἑλὼν διένειμε θεοῖς θνητοῖσί τε κόσμον (**fr. VI, 6**),
οὗ πρῶτος βασίλευσε περικλυτὸς Ἠρικεπαῖος (V. 2 hat **Procl. Tim. V, 291** καὶ πρῶτος βασιλεύς). Von der Νύξ:
Σκῆπτρον ἔχουσ' ἐν χερσὶν ἀριπρεπὲς Ἠρικεπαίου.
Von Οὐρανός:
Ὃς πρῶτος βασίλευσε θεῶν μετὰ μητέρα Νύκτα. Von Zeus:
Ἀθάνατον βασιλῆα θεῶν πέμπτον τε γενέσθαι.

Sie ist ἡγεμὼν der Kureten, von denen sie mit dem Oelzweig bekränzt wird (*Procl. Polit.* 387, *Theol.* V, 3). Von Aphrodite: *Procl. Tim.* II, 101: *Οἱ θεόλογοι τῷ Ἡφαίστῳ τὴν Ἀφροδίτην συζεύξαντες οὕτως αὐτόν φασιν χαλκεύειν τὸ πᾶν καὶ αὖ ἐξ Ἡφαίστου καὶ Ἀγλαΐας Εὔκλειαν καὶ Εὐσθένειαν ἀπογεννῶσι καὶ Εὐφήμην καὶ Φιλοφροσύνην.* Von Artemis, Persephone, Hekate (*Procl. Crat.* 112, *Theol.* 353):

Ἀτελής (τε) γάμων καὶ ἄπειρος ἐοῦσα
παιδογόνου λοχίης πάσης ἀνὰ πείρατα λύει.

Πλουτώνη τε (καὶ) Εὐφροσύνη Βένδις τε κραταιή (Namen der Hekate). Demeter sagt zur Kore, die *μονογένεια* heisst (*Procl. Tim.* II, 139), nach *Procl.* 102:

Αὐτὰρ Ἀπόλλωνος θαλερὸν λέχος εἰσαναβᾶσα
τέξεαι ἀγλαὰ τέκνα πυριφλεγέθοντα προσώποις. Das. 112 und beim *Schol. Apoll.* III, 467:

Ἐννέα θυγατέρας γλαυκώπιδας ἀνθεσιουργούς.

Καὶ τότε δὴ Ἑκάτην Δηὼ τέκεν εὐπατέρειαν. Pluto raubte sie in der Gegend des Okean (*Schol. Hes. Theog.* 914), obgleich die Korybanten ihr zur Bewachung gegeben waren (*Procl. Theol.* VI, 13). Ihre Kinder sind die Eumeniden (*Procl. Crat.* 100, *Apul. de orthogr.* 131).

XIII. Zagreus, Sohn der Kore und des Zeus (*Athenag.* 32). Zeus naht ihr als δράκων. *Procl. Tim.* V, 307: *Ὁ. — προελθοῦσαν ἀπὸ τῶν ἑαυτῆς οἴκων ἀτελεῖς τε καταλείπειν τοὺς ἱστοὺς καὶ ἁρπάζεσθαι (φησί).* Hierhin gehört der Vers bei *Tzetz. Il. p.* 760:

Ἱστὸν ἐποιχομένην ἀτελῆ πόνον ἀνθεμόεσσαν. Zeus setzt den Zagreus auf den Thron und spricht (*Procl. Crat. p.* 59):

Κλῦτε, θεοί, τόνδ' ὔμμιν ἐγὼ βασιλῆα τίθημι. Von ihm heisst es (*Procl.* V, 334, 336):

Καίπερ ἐόντι νέῳ καὶ νηπίῳ εἰλαπιναστῇ
κραῖνε μὲν οὖν Ζεὺς πάντα πατήρ, Βάκχος δ' ἐπέκραινε.

Hüter des Zagreus sind Apollo und die Kureten (*Procl. Alcib.* 83, *Theol.*) V, 35. Nach *Clem. Strom.* VI, 751 brauchte Orpheus wörtlich *Il.* ρ, 53 *καὶ τὰ ἑξῆς* von dem *Διονύσου ἀφανισμός.* Hierhin zieht *Lob.* den Vers bei *Tzetz.* a. a. O.:

Ἕκτον ἔτος, τὸ μὲν οὔτις ἐπέφρασεν οὐδ' ἐνόησεν.

Ueber die List der Titanen zwei Verse aus der τελετή bei *Clem. Cohort. p.* 11. Von der Zerreissung des Zagreus (*Procl. Tim.* III, 184):

Μούνην γὰρ κραδίην νοερὴν λίπον.

Ἑπτὰ δὲ πάντα μέρη κούρου διεμοίρισαντο. Nach *Clem.* a. a. O. kochten sie die Glieder des Zagreus, ὀβελίσκοις περιπείραντες

ὑπείρεχον Ἡφαίστοιο (*Il. β*, 426). *Clem.* berichtet weiter: Ἀθηνᾶ μὲν οὖν τὴν καρδίαν Διονύσου ὑφελομένη Παλλὰς ἐκ τοῦ πάλλειν τὴν καρδίαν προσηγορεύθη. Vgl. *Procl. Alcib.* 44. Bei demselben *Crat.* 112:

Ἡ δ' ἄρα δὴ Ἑκάτη παιδὸς μέλη αὖθι λιποῦσα
Λητοῦς εὐπλοκάμοιο κόρη προσεβήσατ' Ὄλυμπον.

Zeus verschlingt das Herz des Zagreus, der von Neuem ersteht (*Diod.* III, 61). *Procl. Alcib.* 114 bringt drei Verse bei, in denen er Οἶνος heisse:

Οἴνου δ' ἀντὶ μιῆς τριπλῆν μετὰ ῥίζαν ἔθεντο.
Οἴνου πάντα μέλη κόσμῳ λάβε καί μοι ἔνεικε.
Οἴνῳ ἀγαιομένη κούρῳ Διός. Die Titanen werden bestraft. *Procl. Tim.* I, 53:

Ἄτλας δ' οὐρανὸν εὐρὺν ἔχει κρατερῆς ὑπ' ἀνάγκης
πείρασιν ἐν γαίης (*Hes. Theog.* 317). Aus der Asche der Titanen entstehen die Menschen (*Dio Chrys.* XXX, 550, *Lob.* 566).

XIV. Dionysos. *Procl. Tim.* II, 124: Ἡ Ἵππα — παρὰ τῷ Θεολόγῳ λίκνον ἐπὶ τῆς κεφαλῆς θεμένη καὶ δράκοντι αὐτὸ περιστέψασα τὸ κραδιαῖον ὑποδέχεται Διόνυσον· ὁ δὲ ἀπὸ τοῦ μηροῦ τοῦ Διὸς πρόεισιν εἰς αὐτὴν καὶ προελθὼν ἐπὶ τὸ νοητὸν αὐτὴν ἀνάγει καὶ τὴν ἑαυτοῦ πηγήν· ἐπείγεται γὰρ πρὸς τὴν Ἴδην· διὸ καὶ συλλαμβάνεσθαι ἡ Ἵππα λέγεται τίκτοντι τῷ Διΐ· — τοῦτο δὲ ὅμοιον τῷ παῤ Ὀρφεῖ·

Γλυκερὸν δὲ τέκος Διὸς ἐξεκαλεῖτο. Hierhin gehören wohl die Worte über ihn bei *Olympiod. Phaed.* 32:

Ἄνθρωποι δὲ τελήεσσας ἑκατόμβας
πέμψουσιν πάσῃσιν ἐν ὥραις ἀμφιέτεσσιν
ὄργια (τ') ἐκτελέσουσι λύσιν προγόνων ἀθεμίστων

μαιόμενοι· σὺ δὲ τοῖσιν ἔχων κράτος, οὕς κ' ἐθέλῃσθα,
λύσεις ἔκ τε πόνων χαλεπῶν καὶ ἀπείρονος οἴστρου.

XV. *Eust. Dion.* 1 führt aus Ὁ. ἐν τῷ περὶ Διὸς καὶ Ἥρας (*Schol.* das. 3 *Κόρης*) an:

Κύκλον τ' ἀκάματον (*Schol.* αέναον) καλλιῤῥόου Ὠκεανοῖο,
ὃς γαῖαν δίνῃσι πέριξ (*Schol.* περί νιν) ἔχει ἀμφιελίξας (*Schol.* ἀμφιέλισσε). Dass diese Stelle, das τὸ περὶ Διὸς καὶ Ἥρας, nur ein Theil der Theogonie gewesen, ist Lobeck's scharfsinnige Vermuthung (*p.* 606 *sq.*).

XVI. Ob die Erwähnung der *Τύχη* (*Simpl. Ausc.* II, 74), der Sinope als Tochter des Ares und der Aegina (*Schol. Apoll.* II, 953), des von Asklepios auferweckten Hymenäos (*Schol. Pind. Pyth.* III, 96, *Apollod.* III, 10, 12), ferner die Verse beim *Schol. Apoll.* III, 1:

Οὐδέ τι λήθονται Μουσέων βροτοί, αἳ γὰρ ἔασι
κοίρανοι, οἷσι μέμηλε χορὸς θαλίαι τ' ἐρατειναί

(ἐν τοῖς Ὀρφικοῖς εὑρέτις ὀρχήσεως ἡ Ἐρατὼ παραδίδοται), bei *Tzetz. Il. p.* 760, 826:

Ἕκτῃ ἐν ἠριγενεῖ ῥοδοδακτύλῳ ἀργυροπέζῃ.
Ζεὺς Κρονίδης βασιλεὺς ὑψίζυγος αἰθέρι ναίων.
Ὕπνον, ὃς οὐκ μ' ἐᾷ λιγὺν ἐπὶ βλεφάροισιν ἰαύειν,
ἱστάμενος ἀπάλοισιν ὀνείρασιν ἂν πᾶσαν ὄρφνην

(Lies mit *Lob.* Οὐδὲ μ' ἐᾷ λ. ὕ. u. V. 2 ἐν ὀ. π. ἂν ὀ.) u. A. hierhingehört, bleibt zweifelhaft.

Nach *Iust. Mart. Cohort.* 16, 18, *Tzetz. Il. p.* 760 begann Orpheus ein Gedicht:

Μῆνιν ἄειδε, θεά, Δημήτερος ἀγλαοκάρπου *).

---

*) Wir fügen zu dem von *Lob.* Gesammelten jetzt noch hinzu *Cramer Anecd.* I, 39: Ὁ θεόλογος εἰς τὰ ἔπη·

Καὶ γὰρ ἀγοῦ πίπτοντος ὅλος στρατὸς εἰς χθόνα πίπτει,

wo wir st. αὐτοῦ setzen ἀγοῦ mit dem *Etym. Gud. p.* 95, das denselben Vers hat. Die Verse, die daselbst IV p. 251 neuhinzugekommen sind, gehören ebensowenig zur Theogonie, als der schon bekannte *p.* 254 wiederholte. Zur *κατάβασις* dürfte man vielleicht ziehen *Serv. Aen.* VI, 392: *Lectum est in Orpheo, quod, quando Hercules ad inferos descendit, Charon territus eum statim suscepit, ob quam rem anno integro in compedibus fuit.*

Indem wir das, von dem es ganz zweifelhaft bleibt, wohin es gehört, zur Seite lassen, thun wir nur noch der

Ἱεροὶ λόγοι

Erwähnung *ἐν ῥαψωδίαις κδ'*, die *Lob.* für dasselbe Gedicht mit der Theogonie hält. Das *Etym. M.* führt aus dem achten Buche des *ἱερὸς λόγος* an:

Οὓς κάλεουσι Γίγαντας ἐπώνυμον ἐν μακάρεσσιν,
οὕνεκα γῆς ἐγένοντο καὶ αἵματος οὐρανίοιο.

Dass aber hieraus die Verse seien, die *Clem. Cohort. p.* 63 *τὸν ἱερὸν ὄντως λόγον* nennt, ist eine gewagte Vermuthung. Die *ἱεροὶ λόγοι* schreibt *Clem.* dem Kerkops, Suidas ihm oder dem Theognetos zu.

IV. Onomakritos von Athen.

Von ihm, dem Zeitgenossen und Freunde des Hipparchos, dem Verfälscher der Orakel, kommen Erwähnungen epischer Gedichte bei *Pausanias* vor. I, 22: *Ἐγὼ δὲ ἔπη μὲν ἐπελεξάμην, ἐν οἷς ἐστι πτέσθαι Μουσαῖον ὑπὸ Βορέου δῶρον, δοκεῖν δέ μοι πεποίηκεν αὐτὰ Ὀνομάκριτος.* VIII, 31: *Τοῦτον τὸν Ἡρακλῆν εἶναι τῶν Ἰδαίων καλουμένων Δακτύλων Ὀνομάκριτός φησιν ἐν τοῖς ἔπεσι.* 38: *Παρὰ δὲ Ὁμήρου Ὀ. παραλαβὼν τῶν Τιτάνων τὸ ὄνομα Διονύσῳ τε συνέθηκεν ὄργια καί εἶναι τοὺς Τιτᾶνας τῷ Διονύσῳ τῶν παθημάτων ἐποίησεν αὐτουργούς.* Endlich heisst es IX, 35, Onomakritos (*ἔν ἔπεσιν τοῖς Ὀνομακρίτου*) stimme in den Namen und der Zahl der Chariten mit Hesiod überein (*fr.* LXIX).

V. Aristeas von Prokonnesos.

Nach Suidas um die Zeit des Kyros, von dessen Leben Wunderbares berichtet wird, grade wie auch von Abaris dem Hyperboräer, den Eusebios *Ol.* 54 und 82, Andere *Ol.* 21 setzen und Hippostratos gar *Ol.* 3. Von Abaris werden ausser *χρησμοί* und *καθαρμοί* Gedichte von der Vermählung des Flusses Hebros und der Ankunft des Apollo bei den Hyperboräern erwähnt*). Von des Aristeas

*) Aus der Schrift des Heraklides Pontikos *τῶν εἰς τὸν Ἄβαριν ἀναφερομένων* werden Stellen angeführt bei *Bekk. Anecd. p.* 145, 178 (*ἐν δευτέρῳ*), die Erdichtungen desselben zu erzählen scheinen.

Ἀριμάσπεια

(*τὰ Ἀριμάσπεια καλούμενα ἔπη*, nach *Suid. ἱστορία τῶν Ὑπερβορέων Ἀριμασπῶν βιβλία γ'*) sind noch einige Fragmente aufbewahrt. Vgl. *Plin. H. N.* VII, 2, *Gell.* IX, 4.

I. *Longin. de sublim.* X, 4: *Ὁ μὲν γὰρ τὰ Ἀριμάσπεια ποιήσας ἐκεῖνα οἴεται δεινά·*

Θαῦμ' ἡμῖν καὶ τοῦτο μέγα φρεσὶν ἡμετέρῃσιν·
ἄνδρες ὕδωρ ναίουσιν ἀπὸ χθονὸς ἐν πελάγεσσι·
δύστηνοί τινες εἰσὶν, ἔχουσι γὰρ ἔργα πονηρά
ὄμματ' ἐν ἄστροισιν ψυχὴν δ' ἐν πόντῳ ἔχουσιν·
ἦ που πολλὰ θεοῖσι φίλας ἀνὰ χεῖρας ἔχοντες
εὔχοντες σπλάγχνοισι κακῶς ἀναβαλλομένοισι.

II. *Tzetz. Chil.* VII, 686 ff.:

Καὶ Ἀριστέας δέ φησιν ἐν τοῖς Ἀριμασπείοις·
Ἰσσηδοὶ χαίτῃσιν ἀγαλλόμενοι ταναῇσι· *)
καὶ σφᾶς ἀνθρώπους εἶναι καθύπερθεν ὁμούρους
πρὸς Βορέω πολλούς τε καὶ ἐσθλοὺς κάρτα μαχητάς
ἀφνειοὺς ἵπποισι πολύῤῥηνας πολυβούτας
(ὄφθαλμὸν δ' ἓν' ἕκαστος ἔχει χαρίεντι μετώπῳ)
χαίτῃσι λάσιοι πάντων στιβαρώτατοι ἀνδρῶν.

III. *Herod.* V, 13: *Ἔφη δὲ Ἀριστέης — ἀπικέσθαι ἐς Ἰσσηδόνας φοιβόλαμπτος γενόμενος, Ἰσσηδόνων δὲ ὑπεροικέειν Ἀριμασποὺς ἄνδρας μουνοφθάλμους ὑπὲρ δὲ τούτων τοὺς χρυσοφύλακας Γρύπας τούτων δὲ τοὺς Ὑπερβορέους κατήκοντας ἐπὶ θάλασσαν· τούτους ὦν πάντας πλὴν Ὑπερβορέων ἀρξάντων Ἀριμασπῶν αἰεὶ τοῖσι πλησιοχώροισι ἐπιτίθεσθαι καὶ ὑπὸ μὲν Ἀριμασπῶν ἐξωθέεσθαι ἐκ τῆς χώρας Ἰσσηδόνας ὑπὸ δὲ Ἰσσηδόνων Σκύθας, Κιμμερίους δὲ οἰκέοντας ἐπὶ τῇ νοτίῃ θαλάσσῃ ὑπὸ Σκυθέων πιεζομένους ἐκλείπειν τὴν χώρην. Ib.* 16: *Οὐδὲ οὗτος (Ἀ.) προσωτέρω Ἰσσηδόνων ἐν αὐτοῖσι τοῖσι ἔπεσι ποιέων ἔφησε ἀπικέσθαι ἀλλὰ τὰ καθύπερθε ἔλεγε ἀκοῇ φὰς Ἰσσηδόνας εἶναι τοὺς ταῦτα λέγοντας.*

---

*) *Schneidewin delectus Add.* vergleicht des Xenophanes Vers: *αὐχαλέοι χαίτῃσιν ἀγαλλόμεν' εὐπρεπέεσσιν.* Vgl. *Il. υ*, 222 *πώλοισιν ἀγαλλόμεναι ἀταλῇσιν.*

IV. *Strab.* I *p.* 21. *Τοιούτους γάρ τινας εἶναι Ἀριμασπούς φασιν, οὓς ἐν τοῖς Ἀριμασπείοις ἔπεσιν ἐκδέδωκεν Ἀριστέας ὁ Προκοννήσιος.* Vgl. XIII *p.* 589. *Paus.* I, 24: *Τούτους τοὺς γρύπας ἐν τοῖς ἔπεσιν Ἀριστέας ὁ Προκοννήσιος μάχεσθαι περὶ τοῦ χρυσοῦ φησιν Ἀριμασποῖς ὑπὲρ Ἰσσηδόνων, τὸν δὲ χρυσόν, ὃν φυλάσσουσιν οἱ γρύπες, ἀνιέναι τὴν γῆν εἶναι δὲ Ἀριμασποὺς μὲν ἄνδρας μονοφθάλμους πάντας ἐκ γενετῆς γρύπας δὲ θηρία λέουσιν εἰκασμένα πτερὰ δὲ ἔχειν καὶ στόμα ἀετοῦ.* V, 7: *Ἀριστέας γὰρ ὁ Προκοννήσιος μνήμην ἐποιήσατο Ὑπερβορέων καὶ οὗτος τάχα τι καὶ πλέον περὶ αὐτῶν πεπυσμένος εἴη παρὰ Ἰσσηδόνων, ἐς οὓς ἀφικέσθαι φησὶν ἐν τοῖς ἔπεσιν.* Vgl. *Baehr Herod.* II *excurs.* V, VIII.

E) Kunstepos.

I. Pisander von Kamiros.

Von dem alten Pisander von Kamiros auf Rhodos blühend um *Ol.* 33 hat schon Heyne mit Recht (*excurs.* I *ad Aen.* II) den jüngern von Laranda unter Severus Alexander scharf getrennt. Wenn aber *Macrob. Sat.* V, 2 von einem Pisander, den Virgil im zweiten Buche fast wörtlich abgeschrieben habe, sagt: *Qui inter Graecos poetas eminet opere, quod a nuptiis Iovis et Iunonis incipiens universas historias, quae mediis omnibus saeculis usque ad aetatem ipsius Pisandri contigerunt, in unam seriem coactas redegerit et unum ex diversis hiatibus temporum corpus effecerit: in quo opere inter historias ceteras interitus quoque Troiae in hunc modum relatus est*, so kann hier weder der von Laranda gemeint sein, noch der ächte alte, dessen *Ἡρακλεία* aus zwei Büchern bestand. Nun bemerkt Suidas vom alten Pisander: *Τὰ δὲ τῶν ποιημάτων αὐτοῦ νόθα δοξάζεται γενόμενα ὑπό τε ἄλλων καὶ Ἀριστέως τοῦ ποιητοῦ.* Zu diesen untergeschobenen Gedichten scheint das von Makrobius gemeinte zu gehören und wir nehmen mit Welcker S. 97 ff. unbedenklich an, dass das von Suidas dem jüngern Pisander

zugeschriebene Gedicht *Ἡρωϊκῶν θεογαμιῶν*, das aus sechszig Büchern bestanden haben soll (*ἱστορίαν ποικίλην ἐν βιβλίοις ξ'*; aus dem sechsundzwanzigsten wird citirt) dasselbe sei und irrthümlich dem Jüngern zugeschrieben werde.

Stellen wir zuerst das zusammen, was bestimmt als dem alten Pisander zugehörend bezeichnet wird.

I. *Strab.* XV *p.* 688 B nennt die Bekleidung des Herakles mit dem Löwenfelle und sein Erscheinen mit der Keule *πλάσμα τῶν τὴν Ἡρακλείαν ποιησάντων, εἴτε Πείσανδρος ἦν εἴτ' ἄλλος τις.* Derselbe führt den Pisander an XIV *p.* 655 D. *Eratosth. Catast.* 12 (von Herakles mit dem Felle des nemäischen Löwen): *Λέγει δὲ περὶ αὐτοῦ Πείσανδρος ὁ Ῥόδιος, ὅτι καὶ τὴν δορὰν αὐτοῦ ἔσχεν ὡς ἔνδοξον ἔργον πεποιηκώς. Schol. German. Arat. p.* 114: *Periandrus* (*Pisandrus*) *Rhodius refert eum* (*leonem*) *ob primos labores Herculis memoriae caussa honorifice astris inlatum. Hygin. Astron.* II, 24: *De hoc (Leone) Pisandrus et plures alii scripserunt.*

II. *Paus.* II, 37: *Π. δὲ ὁ Καμιρεύς, ἵνα τὸ θηρίον τε δοκοίη φοβερώτερον καὶ αὐτῷ γίγνηται ἡ ποίησις ἀξιόχρεως μᾶλλον, ἀντὶ τούτων τὰς κεφαλὰς ἐποίησε τῇ ὕδρᾳ τὰς πολλάς. Ib.* VIII, 22: *Π. δὲ αὐτὸν* (*Ἡρακλέα*) *ἀποκτεῖναι τὰς ὄρνιθας οὔ φησιν, ἀλλὰ ὡς ψόφῳ κροτάλων ἐκδιώξειεν αὐτάς.*

III. *Athen.* XI *p.* 469 D: *Π. ἐν δευτέρῳ Ἡρακλείας τὸ δέπας, ἐν ᾧ διέπλευσεν ὁ Ἡρακλῆς τὸν Ὠκεανόν, εἶναι μέν φησιν Ἡλίου, λαβεῖν δ' αὐτὸν παρ' Ὠκεανοῦ Ἡρακλέα.*

IV. *Schol. Pind. Pyth.* IX, 183 (von der Tochter des Antäos, den Herakles tödtet): *Ὄνομα δὲ αὐτῇ Ἀλκηΐς, ὥς φησι Π. ὁ Καμειρεύς. Ib. Ol.* III, 52 wird bei der goldgehörnten Hindin von Istria neben Pherekydes auch unser *Pisander* erwähnt.

V. *Schol. Arist. Nub.* 1034 (von Athene, die dem Herakles warme Bäder gibt):

Τῷ δ' ἐν Θερμοπύλῃσι θεὰ γλαυκῶπις Ἀθήνη

ποίει θερμὰ λοετρὰ παρὰ ῥηγμῖνι θαλάσσης.

Vgl. *Zenob.* VI, 49, der die Sache erwähnt: Ὡς φησι Πίνδαρος (Πείσανδρος) ἐν τοῖς περὶ Ἡρακλέους.

VI. *Stob.* I *p.* 313 *Gaisf.*:

Οὐ νέμεσις καὶ ψεῦδος ὑπὲρ ψυχῆς ἀγορεύειν.

Schon in den beiden letzteren Fragmenten wird der Kamireer nicht bestimmt genannt; doch scheinen sie ihm sicher zu gehören. Ob auch das Sprichwort bei *Hesych.* Νοῦς οὐ παρὰ Κενταύροις (Müller II, 476) lassen wir unentschieden, ebenso ob das, was bei *Apollod.* I, 8, 5 erwähnt wird: Αὐτὸν (Τυδέα) ἐκ Γόργης γενέσθαι λέγει (P.)· τῆς γὰρ θυγατρὸς Οἰνέα κατὰ τὴν βούλησιν Διὸς ἐρασθῆναι.

Auf den unächten Pisander scheinen zuvörderst die Erwähnungen in den *Schol.* zum *Apollonius*, die fast nur Schriftsteller vor August anführen (mit Ausnahme von Lukian und Apion an zwei Stellen) und bei *Steph. Byz.* zu beziehen. *Schol.* I, 152: Φερεκύδης τὴν μητέρα τῶν περὶ Ἴδαν Ἀρήνην φησίν, ἀφ' ἧς ἡ πόλις, Πείσανδρος Πολυδώραν. 471: Ἀρήνη πόλις Πελοποννήσου, νῦν δὲ Ἱεράνα (Ἔρανα. *Heyne*) *Il.* IV, 332) λέγεται, ὡς φησι Π. II, 98: Ἐπίχαρμος δὲ καὶ Π. φασίν, ὅτι ἔδησεν αὐτὸν (Ἄμυκον) ὁ Πολυδεύκης. 1090: Πιθανῶς δὲ (P.) τοὺς ὄρνιθας φησὶν εἰς Σκυθίαν ἀποπτῆναι, ὅθεν καὶ ἐληλύθεισαν (von den Harpyien). IV, 57 in Betreff des Endymion, wo er mit Hesiod (Καταλ. *fr.* XXIII), nicht mit den Eöen übereinstimmte. Dass zwei Stellen auf den Herakles Bezug haben (I, 1196: Π. δέ φησιν ὁλόχαλκον εἶναι τὸ ῥόπαλον Ἡρακλέους — nach Suidas gab P. zuerst ihm die Keule, die wohl erst der unächte P. ganz aus Eisen sein liess —, IV, 1396: Τοῦτον (δράκοντα Λάδωνα) δὲ (P.) ὑπείληφεν ἀπὸ τῆς γῆς γεγενῆσθαι) ist nicht zu verwundern. Bei *Steph.* Ἀπέννιον: Τὸ ἐθνικὸν Ἀπεννῖνος —, ὃ παρὰ Π. κεῖται ιγ'. Ἀστακός: Καὶ Ἀστακιήτης καὶ Ἀστακίδης πατρωνυμικόν· Π. δεκάτῃ. Βοαύλεια: Πόλις Σκυθίας· Π. εἰκοστῇ ἕκτῃ. Κυβέλεια: Ἀφ' οὗ Κυβέλη ἡ Ῥέα λέγεται Κυβεληγενὴς καὶ Κυβελίς·

Π. δεκάτῳ. Λυκόζεια: Τὸ ἐθνικὸν Λυκόζειοι, ὡς Π. τεσσαρεςκαιδεκάτῃ. Νιφάτης: Καὶ Π. ἑβδόμῳ (auch bei *Suid.*)

Ταύρου πρυμνώρεια ἐϋσκόπελόν τε Νιφάτην.

Οἰνωτρία: Π. τριςκαιδεκάτῳ ἀπὸ τοῦ οἴνου χρήσεως κεκλῆσθαι αὐτὴν φησι. Ἀγάθυρσοι: Κέκληνται δὲ ἢ ἀπ' Ἀγαθύρσου τοῦ Ἡρακλέους ἢ, ὡς Π., ἀπὸ τῶν θυρσῶν τοῦ Διονύσου. Auch, was sonst berichtet wird ziehen wir unbedenklich hierhin. In den *Schol. Il. δ*, 147 wird von Menelaos angeführt aus P.:

Ξανθοκόμης μέγας ἦν γλαυκόμματος ἄρτι παρειᾷ λοχμάζων εὔκνημος.

Lyd. de magistr. IV, 64: *Καὶ μάρτυς ὁ Π. εἰπών· Αὐδοὶ χρυσοχίτωνες. Schol. Eur. Phoen.* 834: *Π. ἱστορεῖ, ὅτι Ξάνθῃ Τειρεσίας ἐποίησε παῖδας δ' φαινενφερσεκερδην* (*Φαίνην, Φερεκύδην*??) *Χλῶριν Μαντώ.* Hierzu der *Schol.* 1760, wo die Geschichte von der Sphinx, die Here dem Laios zur Strafe geschickt, das Ende des Laios und das Unglück des Oedipus, der schon geblendet die Eurygane geehlicht, *ἐξ ἧς αὐτῷ γεγόνασι τέσσαρες παῖδες*, aus P. erzählt wird. *Zosim.* V, 29 sagt von den Argonauten in Bezug auf die Stadt Hemon: *Ἐπειδὴ κατὰ τοῦτον ἐγένοντο τὸν τόπον μνήμην καταλιπόντες τῆς σφετέρας ἀφίξεως τὸν τῆς πόλεως οἰκισμὸν μηχαναῖς ἐπιθέντες τὴν Ἀργὼ καὶ τετρακοσίων σταδίων ὁδὸν ἄχρι θαλάσσης ἑλκύσαντες οὕτω ταῖς Θεσσαλῶν ἀκταῖς προςωρμίσθησαν, ὡς ὁ ποιητὴς Π. ὁ τῇ τῶν ἡρωϊκῶν θεογαμιῶν ἐπιγραφῇ πᾶσαν ὡς εἰπεῖν ἱστορίαν παραλαμβάνων.* Von diesem Werke ist es auch zu verstehen, was Olympiodor zu *Plat. Phaed.* (bei *Wyttenb. p.* 251 *sq.*) anführt, Kadmos habe dem Zeus gerathen, wie er den Typhon bewältigen könne. S. Welcker „über eine kretische Kolonie in Theben" S. 33, ep. Kykl. S. 101. *Olympiod. Plat. Alcib. p.* 157: *Creuzer: Διό φησι περὶ αὐτοῦ (Ἡρακλέους) ὁ Π.· δικαιοτάτου δὲ φονῆος· ἐπὶ γὰρ καθαρότητα φόνου ἐποίει.* Dass auch das Orakel über Oedipus *Λάϊε Λαβδακίδη*, das sich vor dem *Oed. R.* des Sophokles findet, aus diesem Gedichte, wenn nicht aus der Oedipodie herrühre, vermuthet Welcker*).

*) *Serv. Aen.* II, 211: *Filios Laocoontis Ethronem et Melanthum Thessandrus dicit* vermuthet Heyne *Pisandrus*

II. Panyasis von Halikarnass,

blühend um *Ol.* 72. Vgl. *Tschirner de Panyasidis vita et carminibus P.* I (1836), *Funcke de Panyasidis vita ac poesi* (1837), Eckstein bei Ersch u. Gruber. Sein Hauptgedicht Ἡρακλεία, einmal auch Ἡρακλειάς genannt, bestand aus 9000 Versen in 14 Büchern (Suidas, wo zwei Hdschr. irrig ἐν βιβλίοις δ' st. ιδ').

I. *Steph. Byz.*: Βεμβῖνα κώμη τῆς Νεμέας. Π. ἐν Ἡρακλείας πρώτῃ·

Δέρμα τε θήρειον Βεμβινήταο λέοντος·

καὶ ἄλλως·

Καὶ Βεμβινήταο πελώρου δέρμα λέοντος.

II. *Athen.* XI *p.* 469 D: Ἐν πρώτῳ Ἡρακλείας (P.) παρὰ Νηρέως φησὶ τὴν τοῦ Ἡλίου φιάλην κομίσασθαι τὸν Ἡρακλέα καὶ διαπλεῦσαι εἰς Ἐρύθειαν. Hierhin gehören auch *Macrob. Sat.* V, 21: *Poculo autem Herculem vectum ad Ἐρύθειαν Hispaniae insulam navigasse et P. egregius scriptor Graecorum et Pherecydes auctor est*, *Clem. Cohort. p.* 23 B: Καὶ μὴν καὶ τὸν Ἀϊδωνέα ὑπὸ Ἡρακλέους τοξευθῆναι Ὅμηρος λέγει καὶ τὸν Ἠλεῖον Αὐγέαν (lies τὸν Ἤλιον [Heyne τὸν Ἤλιον αὐτὸν], wozu Αὐγέαν falsch hinzugesetzt ward) Π. ἱστορεῖ· ἤδη δὲ καὶ τὴν Ἥραν τὴν ζυγίαν ἱστορεῖ ὑπὸ τοῦ αὐτοῦ Ἡρακλέους ὁ αὐτὸς οὗτος Π.·

Ἐν Πύλῳ ἡμαθόεντι. *Schol. Od.* μ, 301: Π. φύλακα τῶν Ἡλίου βοῶν Φυλάκιόν (od. Φύλαιον) φησι γενέσθαι.

III. *Athen.* XI *p.* 498 D: Π. τρίτῳ Ἡρακλείας φησίν·

Τοῦ κεράσας κρατῆρα μέγαν χρυσοῖο φαεινόν

σκύπφους αἰνύμενος θαμέας ποτὸν ἡδὺν ἔπινεν.

Müller II, 473.

IV. *Schol. Pind. Pyth.* III, 177: Ὥςπερ Π. ἐν τρίτῳ Ἡρακλείας·

Καὶ ῥ' ὁ μὲν ἐκ κόλποιο τροφοῦ θόρε ποσσὶ θοώνης.

Vgl. *Hom. hymn. Merc.* 20, Eckstein S. 13.

V. *Steph. Byz.*: Ἄσπις ἐστὶ καὶ πέραν Πίσης, ὡς Π. ἐν Ἡρακλείας ἑνδεκάτῃ. Müller S. 474 bezieht dies auf die Gründung der olympischen Spiele.

VI. *Paus.* X, 8: Π. — πεποιηκὼς εἰς Ἡρακλέα ἔπη — περὶ τοῦ Ἡρακλέους (vgl. Eckstein)·

Παρνησσὸν νιφόεντα θοοῖς διὰ ποσσὶ περήσας·
ἶκτο Κασταλίης Ἀχελωΐδος ἄμβροτον ὕδωρ.

VII. *Eratosth. Catast.* 12: *Οὗτος (ὁ Καρκῖνος) δοκεῖ ἐν τοῖς ἄστροις τεθῆναι δι' Ἥραν, ὅτι μόνος Ἡρακλεῖ τῶν ἄλλων συμμαχούντων, ὅτε τὴν ὕδραν ἀνῄρει, ἐκ τῆς λίμνης ἐκπηδήσας ἔδακεν αὐτοῦ τὸν πόδα, καθάπερ φησὶ Π. ἐν Ἡρακλείᾳ.* Dasselbe sagt der *Interpr. Germ. Arati p.* 51, nur dass er hinzufügt: *Quum Hercules cum Hydra ad fontem Lernaeum depugnaret,* und später: *Quem (cancrum) miratus Hercules calcatum contrivit.* Müller „Prolegomena" S. 199 f.

VIII. *Interpr. Germ. Arati p.* 42: *Draconem immensae magnitudinis hortorum custodem insomnem, dum a Iunone ad custodienda aurea mala esset constitutus, Hercules, quum ad mala aurea profectus fuisset, ut refert P. in Heraclea, fertur peremisse. Hygin. Astron.* II, 6. *Engonasin. Hunc Eratosthenes Herculem dicit supra draconem collocatum eumque paratum ut ad certandum sinistra manu pellem leonis dextra clavam tenentem. Conatum interficere draconem Hesperidum custodem, qui nunquam oculos operuisse somno coactus existimatur, quo magis custos appositus esse demonstratur. De hoc etiam P. in Heraclea dicit.* Dasselbe berichtet *Avien. Phaen.* 175 *sqq.*

IX. *Schol. Apoll.* IV, 1149: *Π. δέ φησιν ἐν Λυδίᾳ νοσήσαντα (Naeke Choer. p.* 16) *Ἡρακλέα τυχεῖν ἰάσεως ὑπὸ Ὕλλου τοῦ ποταμοῦ, ὃς ἐστι Λυδίας· διὸ καὶ τοὺς δύο υἱοὺς αὐτοῦ Ὕλλους ὀνομασθῆναι.* Aehnlich *Schol. Il. ω*, 616: *(Ἡρακλῆς νοσήσας) ἀναδόντων αὐτῷ θερμὰ λουτρὰ τῶν ποταμῶν τοὺς παῖδας Ὕλλον ἐκάλεσε καὶ τὸν ἐξ Ὀμφάλης Ἀχέλητα, ὃς Λυδῶν ἐβασίλευε. — εἰσὶ δὲ καὶ*

Νύμφαι Ἀχελήτιδες,

ὥς φησι Π.

X. *Paus.* IX, 11: *Ἐπιδεικνύουσι δὲ (οἱ Θηβαῖοι) Ἡρακλέους τῶν παίδων τῶν ἐκ Μεγάρας μνῆμα οὐδέν τι ὁμοίως τὰ ἐς τὸν θάνατον λέγοντες, ἢ Στησίχορος ὁ Ἱμεραῖος καὶ Π. ἐν τοῖς ἔπεσιν ἐποίησαν. Θηβαῖοι δὲ καὶ τάδε ἐπιλέγουσιν, ὡς Ἡρακλῆς ὑπὸ τῆς μανίας καὶ Ἀμφιτρύωνα ἔμελλεν ἀποκτεινύναι, πρότερον δὲ ἄρα ὕπνος ἐπέλαβεν αὐτὸν ὑπὸ τοῦ λίθου τῆς πληγῆς.*

XI. *Steph. Byz. v.*: *Τρεμίλη ἡ Λυκία ἐκαλεῖτο — ὡς Π.·*

Ἔνθα δ' ἔναιε μέγας Τρέμιλος καὶ ἔγημε θύγατρα
νύμφην Ὠγυγίην, ἣν Πραξιδίκην καλέουσι,
Σίβρῳ ἐπ' ἀργυρέῳ ποταμῷ παρὰ δινήεντι·
τῆς δ' ὁλοοὶ παῖδες Τλῶος Ξάνθος Πιναρός τε
καὶ Κράγος, ὃς κρατέων πάσας λῃΐζετ' ἀρούρας.

V. 3 nicht *παραδινήεντι* zu schreiben. Beim Sibros (allgemeine Ortsbestimmung) am Ufer des strudelnden Flusses.

XII. *Clem. Cohort. p.* 22 (Vgl. *Arnob. adv. gent.* IV, 25, oben *fr.* II):

Τλῃ μὲν Δημήτηρ, τλῃ δὲ κλυτὸς Ἀμφιγυήεις
τλῃ δὲ Ποσειδάων τλῃ δ' ἀργυρότοξος Ἀπόλλων
ἀνδρὶ παρὰ θνητῷ θητευέμεν εἰς ἐνιαυτόν·
τλῃ δὲ καὶ ὀβριμόθυμος Ἄρης ὑπὸ πατρὸς ἀνάγκης.

Wohl *ἀνάγκῃ* zu lesen, wie ich schon Archiv f. Phil. u. Paed. V, 295 bemerkt. S. Müller I, 437, Eckstein S. 13.

XIII. *Paus.* X, 29: *Π. δὲ ἐποίησεν, ὡς Θησεὺς καὶ Πειρίθους ἐπὶ τῶν θρόνων παράσχοιντο σχῆμα οὐ κατὰ δεσμώτας, προσφυὲς δὲ ἀπὸ τοῦ χρωτὸς ἀντὶ δεσμῶν σφισιν ἔφη τὴν πέτραν.*

XIV. *Hesych.*: *Ἠοίην τὸν Ἄδωνιν Π.* Adonis war nach P. Sohn des assyrischen Königs Theias und der Smyrna, dessen Tochter. *Apollod.* III, 14, 4: *Ἀγνοοῦντι τῷ πατρὶ νύκτας συνεννάσθη· ὁ δὲ, ὡς ᾔσθετο, σπασάμενος ξίφος ἐδίωκεν αὐτήν.* Sie ward auf ihre Bitten in eine *μύῤῥα* verwandelt, aus der nach zehn Monaten Adonis hervorging. Herakles will den Adonis, den er *Ἠοίῃ* nennt, für keinen Gott halten. Müller II, 474. *Athen.* IV *p.* 172 D: *Πεμμάτων δὲ πρῶτόν φησιν μνημονεῦσαι Π. Σέλευκος, ἐν οἷς περὶ τῆς παῤ Αἰγυπτίοις ἀνθρωποθυσίας διηγεῖται πολλὰ μὲν ἐπιθεῖναι λέγων πέμματα πολλὰς δὲ νόσσαδας ὄρνεις.* Woher einen Vers herzustellen versucht haben Funcke und Schneidewin *Ibyc. p.* 43; letzterer:

Πέμματα πόλλ' ἐπέθηκε φέρων καὶ νόσσαδας ὄρνις.

Ferner geschah bei P. der Demeter Erwähnung, die zu Eleusin, Vater des Triptolemos gekommen (*Apollod.* I, 5, 2. Die Fabel bei *Hygin.* 128) und des Asklepios, der den Tyndareos wieder zum Leben erweckt (*Apollod.* III. 10. 3.

Schol. Eur. Alc. 1). *Prob. Virg. Ecl.* II, 24: *Pamnyasis (Panyasis) et Alexander lyram (Amphioni) a Mercurio muneri datam dicit, quod primus Cynaram (? matrem, Antiopam) liberaverit.* Das Wort βηλά (falsch βῆλα, βαιόλα, βίολα) für πέδιλα führen aus P. an *Etym. M., Suid., Schol. Il.* α, 591.

XV. *Etym. M. p.* 266 (ohne Namen bei *Eust. p.* 127, im *Etym. Gud. p.* 142):

Δηρὸν βουλεύειν, ἵν' ἔχῃ καὶ πολλὸν ἄμεινον.

XVI. *Athen.* II *p.* 38:

Πρῶται μὲν Χάριτες τ' ἔλαχον καὶ εὐφρονες Ὧραι
μοῖραν καὶ Διόνυσος ἐρίβρομος, οἵπερ ἔτευξαν,
τοῖς δ' ἔπι Κυπρογένεια θεὰ λάχε καὶ Διόνυσος·
ἔνθα τε κάλλιστος πότος ἀνδράσι γίγνεται οἴνου·
εἴ τις μὲν πίνοι καὶ ἀπότροπος οἷκαδ' ἀπέλθοι
δαιτὸς ἀπὸ γλυκερῆς, οὐκ ἄν ποτε πήματι κύρσαι·
ἀλλ', ὅτε τις μοίρης τριτάτης πρὸς μέτρον ἐλαύνοι
πίνων ἀβλεμέως, τότε δ' Ὕβριος αἶσα καὶ Ἄτης
γίγνεται, ἀργαλέα κακὰ δ' ἀνθρώποισιν ὀπάζει.
ἀλλὰ, πέπον, μέτρον γὰρ ἔχεις γλυκεροῖο ποτοῖο,
στεῖχε παρὰ μνηστὴν ἄλοχον κοίμιζε δ' ἑταίρους·
δείδια γὰρ, τριτάτης μοίρης μελιηδέος οἴνου
πινομένης μή σ' ὕβρις ἐνὶ φρεσὶ θυμὸν ἀέρσῃ
ἐσθλοῖς τε ξείνοισι κακὴν ἐπιθῇσι τελευτήν.
ἀλλ' ἄπιθι καὶ παῦε πολὺν πότον.

καὶ ἑξῆς περὶ ἀμέτρου οἴνου·

Καὶ γάρ οἱ Ἄτης τε καὶ Ὕβριος αἶσ' ἅμ' ὀπηδεῖ.

V. 1 vgl. *Hom. hymn. Apoll.* 194. V. 6 Schweigh. κύρσας. V. 14 schreibe ich mit *Funcke* ἐπιθῇσι st. ἐπιθήσειε. V. 15 Meineke ἀλλ' ἄπιθι. V. 16 Näke καί st. ἐκ und αἶσ' ἅμ' st. αἶσα. Dieses nebst dem folgenden Fragm. gehört vermuthlich zum Gastmal bei Pholos. Eckstein S. 13.

XVI. *Stob.* I *p.* 364 *sq. Gaisf.*:

Ξεῖν', ἄγε δὴ καὶ πῖν'· ἀρετή νυ τις ἔστι καὶ αὖτη,
ὅς κ' ἀνδρῶν πολὺ πλεῖστον ἐν εἰλαπίνῃ μέθυ πίνῃ
εὖ καὶ ἐπισταμένως ἅμα τ' ἄλλον φῶτα κελεύῃ·
ἶσον θ', ὅστ' ἐν δαιτὶ καὶ ἐν πολέμῳ θοὸς ἀνὴρ
ὑσμίνας διέπων ταλαπενθέας, ἔνθα τε παῦροι

Θαρσάλεοι τελέθουσι μένουσί τε θοῦρον Ἄρηα·
τοῦ μὲν ἐγὼ θείμην ἶσον κλέος, ὅστ' ἐνὶ δαιτί
τέρπηται παρεὼν ἅμα τ' ἄλλον λαὸν ἀνώγῃ·
οὐ γάρ μοι ζώειν γε δοκεῖ βροτὸς οὐδὲ βιῶναι
ἀνθρώποιο βίον ταλασίφρονος, ὅστις ἀπ' οἴνου
θυμὸν ἐρητύσας πίνει πιστὸν ἄλλο νεόφρων·
οἶνος γὰρ πυρὶ ἶσον ἐπιχθονίοισιν ὄνειαρ
ἐσθλὸν ἀλεξίκακον πάσης συνοπηδὸν ἀοιδῆς·
ἐν μὲν γὰρ θαλίης ἱερὸν μένος ἀγλαΐης τε
ἐν δὲ χοροιτυπίης ἐν δ' ἱμερτῆς φιλότητος.
τῷ σὲ χρὴ παρὰ δαιτὶ δεδεγμένον εὔφρονι θυμῷ
πίνειν μηδὲ βορῇ κεκακωμένον ἠΰτε γῦπα
ἦσθαι πλημμύροντα λελασμένον εὐφροσυνάων.

V. 12, 13 auch bei *Suid.* v. οἶνος, V. 12 — 18 auch bei *Athen.* II *p.* 37, wo V. 13 πάσῃ σ. ἀνίῃ, V. 16 δεδευμένον, V. 17 βορῆς κ. ἦ. παῖδα. Vor V. 16 findet sich noch bei *Stob.* gewiss irrig eingeschoben:

Ἔν δέ τε μὲν θήρης καὶ δυσφροσύνης ἀλεγεινῆς.

XVIII. *Athen.* a. a. O. (V. 1 und 5 auch bei *Clem. Strom.* VI *p.* 742):

Οἶνος δὴ θνητοῖσι θεῶν πάρα δῶρον ἄριστον
ἀγλαός, ᾧ πᾶσαι μὲν ἐφαρμόζουσιν ἀοιδαί
πάντες δ' ὀρχηθμοὶ πᾶσαι δ' ἔραται φιλότητες·
πάσας δ' ἐκ κραδίης ἀνίας ἀνδρῶν ἀλαπάζει
πινόμενος κατὰ μέτρον, ὑπὲρ μέτρον δὲ χερείων.

Ausser der Ἡρακλεία werden von P. noch angeführt Ἰωνικά in 7000 Versen, die Geschichte des Kodros und Neleus und der jonischen Ansiedelungen in Asien beschreibend, und zwar ἐν πενταμέτρῳ nach Suidas.

III. Chörilos von Samos,

blühend um *Ol.* 90. Sein historisches Epos, mit dem er eine neue Bahn betrat, wird bei Stobäos Περσηΐς, bei Herodian Περσικά, wie Näke schon vermuthet, bei Suidas und Hesychios ἡ Ἀθηναίων νίκη κατὰ Ξέρξου genannt. Vgl. *Choerili Samii quae supersunt collegit et illustravit Naekius* (1816).

I. Ἄ μάκαρ, ὅατις ἔην κεῖνον χρόνον ἴδρις ἀοιδῶν
Μουσάων θεράπων, ὅτ' ἀκείρατος ἦν ἔτι λειμών·
νῦν δ', ὅτε πάντα δέδασται, ἔχουσι δὲ πείρατα τέχναι,
ὕστατοι ὥςε δρόμου κατελειπόμεθ', οὐδέ τοι ἔσται
πάντη παπταίνοντα νεοζυγὲς ἅρμα πελάσσαι.

Aristot. Rhet. III, 14 führt aus dem Proömium des Ch. an: *νῦν δ', ὅτε πάντα δέδασται.* Das Ganze verdanken wir den Scholien z. d. St. Ἀκείρατος hält gegen Scaliger's ἀκήρατος bei *Osann auctar. p.* 8.

II. *Herodian p.* 13: Ἀρέθουσα κρήνη κυρίως ἀλλὰ καὶ πᾶσαι κρῆναι κατ' ἐπιθετικὴν ἔννοιαν οὕτω καλοῦνται — · ὅ γ' οὖν Χ. ἐν α' Περσικῶν·

Παρὰ δὲ κρήνας ἀρεθούσας
μύρια φῦλ' ἐδονεῖτο πολυσμήνοισι μελίσσαις.

Hierzu ziehe ich, was der *Schol. Apoll.* I, 212 anführt: Χ. δὲ ἁρπασθῆναι φησὶν αὐτὴν ἄνθη ἀμέλγουσαν ὑπὸ τὰς τοῦ Κηφισσοῦ πηγάς. Vgl. *Herod.* VII, 189.

III. *Strab.* VII *p.* 303: Καλεῖ δὲ καὶ (Ἔφορος) Χ. εἰπόντα ἐν τῇ διαβάσει τῆς σχεδίας, ἣν ἔζευξε Δαρεῖος·

Μηλονόμοι τε Σάκαι γενεῇ Σκύθαι, αὐτὰρ ἔναιον
Ἀσίδα πυροφόρον, νομάδων γε μὲν ἦσαν ἄποικοι
ἀνθρώπων νομίμων.

IV. *Ioseph. c. Apion. p.* 454, dem *Euseb. Praep. ev.* IX, 8 ganz folgt: Καὶ Χ. — μέμνηται τοῦ ἔθνους ἡμῶν, ὅτε συνεστρατεύεται Ξέρξῃ — ἐπὶ τὴν Ἑλλάδα· καταριθμησάμενος γὰρ πάντα τὰ ἔθνη τελευταῖον καὶ τὸ ἡμέτερον ἐνετάξε λέγων·

Τῶν δ' ὄπιθεν διέβαινε γένος θαυμαστὸν ὄπισθεν·
γλῶσσαν μὲν Φοίνισσαν ἀπὸ στομάτων ἀφιέντες
ᾤκεον δ' ἐν Σολύμοις ὄρεσιν πλατέῃ ἐπὶ λίμνῃ
αὐχμαλέοι κορυφὰς τροχοκουράδες, αὐτὰρ ὕπερθεν
ἵππων δαρτὰ πρόςωπ' ἐφόρευν ἐσκληκότα καπνῷ.

V. Aus der Perseis des Ch. bei *Stob. Floril.* I, *p.* 435 *Gaisf.*:

Ὅρκον δ' οὔτ' ἄδικον χρεὼν ἔμμεναι οὔτε δίκαιον.

VI. Von Ch. dem ἐποποιὸς führt *Athen.* XI *p.* 464 A an: Χερσὶν ἄνολβον ἔχω κύλικος τρύφος ἀμφὶς ἀγαγός

ἀνδρῶν δαιτυμόνων ναυάγιον, οἷά τε πολλὰ
πνεῦμα Διωνύσοιο πρὸς Τβριος ἔκβαλ' ἄνακτος.

Toup schrieb mit Recht statt ὄλβον ἄνολβον — vielleicht ist auch ἔχων zu setzen —; statt ἄνακτος hat man ἀνάσσης oder ἔκβαλεν ἀκτάς gewollt.

VII. Unter dem Namen des Ch. erwähnt *Simplicius Arist. Phys.* VIII *p.* 276 B, als sprichwörtlich *Galen. de temper.* III, 4, *de locis adfectis* I, 2:

Πέτρην κοιλαίνει ῥανὶς ὕδατος ἐνδελεχείῃ.

IX. Nach *Diog. Laert.* I, 24 sagte der Dichter Ch., Thales habe zuerst die Unsterblichkeit der Seele behauptet.

X. *Tzetzes* in den *Rhetores* von *Walz* III, 651:

Ὥσπερ ποιεῖ Χοιρίλος
καλῶν τοὺς λίθους γῆς ὀστᾶ τοὺς ποταμοὺς γῆς φλέβας.

XI. *Hesych.* und *Phavor. v.* Σαμιακὸς τρόπος führen an:

Ναῦς δέ τις ὠκύπορος Σαμίη ὑὸς εἶδος ἔχουσα.

Dass der Vers dem Chörilos angehöre, ergibt sich aus *Photius:* Ἴσι γὰρ ἐμφερεῖς εἶχε τὰς πρώρας τὰ τῶν Σαμίων πλοῖα, ὡς Χοιρίλοχος (Χοιρίλος) ὁ Σάμιος. Man lese:

Νηῦς δέ τις ὠκύπορος Σαμίη συὸς εἶδος ἔχουσα,

obgleich ὑὸς nicht ganz zu verwerfen. Vgl. *Il.* ϑ, 338, ι, 264, ψ, 32. Zum Ganzen *Herod.* VIII, 59, IX, 90.

XII. Die von *Suid. v.* μᾶσσον (μεῖζον, μακρότερον) angeführten Worte (zum Theil auch *v.* ὑετός. Vgl. *Phavor. v.* μᾶσσον):

Ἔπιπρὸ δὲ μᾶσσον ἔπ' ἄκρου
Αἰγαλέω ϑυμόεντος ἄγων μέγαν ὑετὸν ἔστη

hat Buttmann als vom Xerxes gesagt dem Ch. gegeben und Näke (*ind. lect. aestiv.* 1827) stimmt bei.

XIII. *Serv. Georg.* I, 482: *Chaerilus (Eridanum) in Germania (esse putat) in quo flumine Edion (Phaeton) extinctus est.* Die Deutung, dass Eridanos in Germanien sei, hat wohl Servius aus Ch. sich gebildet. Diese Stelle hat Näke, dessen Verlust wir noch tief empfinden, in seinem letzten Lektionskatalog (Winter 1838) nachgetragen.

Chörilos von Ios, der Begleiter Alexander's des Grossen, scheint das Gedicht auf den lamischen Krieg gedichtet zu haben, *Λαμιακά*, das Suidas dem von Samos zuschreibt. Ihm gehört auch nach Näke's schöner Untersuchung die Uebersetzung der Inschrift des Sardanapal bei *Strabo* XIV *p.* 672 und *Athen.* VIII *p.* 336:

Εὖ εἰδὼς, ὅτι θνητὸς ἔφυς, σὸν θυμὸν ἄεξε
τερπόμενος θαλίῃσι· θανόντι τοι οὔτις ὄνησις.
καὶ γὰρ ἐγὼ σποδός εἰμι Νίνου μεγάλης βασιλεύσας·
κεῖν' ἔχω, ὅσσ' ἔφαγον καὶ ἐφύβρισα καὶ σὺν ἔρωτι
τέρπν' ἔπαθον, τὰ δὲ πολλὰ καὶ ὄλβια πάντα λέλυνται·
ἥδε σοφὴ βίοτοιο παραίνεσις ἀνθρώποισι,

wobei nur zu bemerken, dass V. 4, 5 schon vor Ch. den Griechen bekannt waren, aber mit folgender Verschiedenheit: *ταῦτ' ἔχω — καὶ μετ' ἔρωτος — καὶ ὄλβια κεῖνα λέλειπται.*

IV. Antimachos von Kolophon,

blühend um *Ol.* 90 *). Vgl. *Schellenberg Antimachi Colophonii reliquiae* 1786 und *Blomfield* im *Classical Iournal* IV, 231 ff. Wir haben hier nur seine *Θηβαΐς* zu berücksichtigen, von der Porphyrio zu *Hor.* A. P. 146 sagt, A. habe sie so ausgedehnt, *ut viginti quattuor volumina impleverit, antequam septem duces usque ad Thebas produceret.* Vgl. *Cic. Brut.* 51.

I. Das Prooemium führt *Eust. Il. p.* 9 an:

Ἔννεπετε Κρονίδαο Διὸς μεγάλοιο θύγατρες.

Der *Schol. Ven. Il. α*, 1 hat irrig *Κρονίωνος.*

II. *Steph. Byz. Τευμησσὸς: Ἐκλήθη δ' οὕτως, ὡς Ἀ. ἐν πρώτῳ Θηβαΐδος,*

οὕνεκά οἱ (Εὐρώπῃ) Κρονίδης, ὡς (ὃς δή) πάντων μέγ' ἀνάσσει,
ἄντρον ἐνὶ σκιῇ τευμήσατο, τόφρα κεν εἴη
Φοίνικος κούρα (γε) κεκευθμένα ὅς ῥα (ὣς ἄρα) μή τις
μηδὲ θεῶν ἄλλος γε πάρεξ φράσαιτό κεν αὐτοῦ.

*) *Schol. Nicand. Ther.* sagt, Nikander sei *ζηλωτὴς Ἀντιμάχου, διόπερ πολλοῖς αὐτοῦ κέχρηται· διὸ καὶ ἐν ἐνίοις δωρίζει.*

— *Τευμησσόθεν.* — *Τευμησσόνδε· Ἀ. ἐν πρώτῳ Θηβαΐδος.* *Arist. Rhet.* III, 6 und *Strab.* IX *p.* 407 führen von A. über Teumessos an:

Ἔστι τις ἠνεμόεις ὀλίγος λόφος

(A. beschrieb Teumessos *διὰ πολλῶν ἐπῶν*). Vgl. *Etym. M. p.* 755. Für *σκιῇ* hat Meineke *Euphor. p.* 129 richtig *στιῇ* gesetzt. Statt *κ. κ.* vermuthet er *κούρη κεκυημένη.* Schneidewin *Ibyc. p.* 19 denkt, V. 1 sei *ὡς* aus der Abkürzung von *βασιλεὺς* entstanden!

III. *Prisc.* VI *p.* 723 *P*: *Sic. Antimachus in I Thebaidos Τύδης τ' Οἰνείδης et vocativum in ē productam.*

Τὸν καὶ φωνήσας προσέφης, Οἰνῆϊε Τύδη.

Vgl. *Schneidewin p.* 161 *sq.*, 231.

IV. *Steph. Κύνθος. Κύνθος: Παρ' Ἀντιμάχῳ ἐν πρώτῃ Θηβαΐδος.*

V. *Etym. M. p.* 189: *Ἀ. ἐν πρώτῃ Θηβαΐδος·*

Οἵ οἱ ἔσαν βασιλεύτορες αἰπαλήων,

Valckenär *Herod.* V, 68 schreibt *Αἰγιαλήων* mit Beziehung auf *Theocr.* XXV, 174, Sylburg *αἰπολιήων* oder *ἀσπαλιήων.* Anders *Iacobs Porson. advers. p.* 320. S. Meineke *p.* 146.

VI. *Ib. Κοτύλαιον: Ὄρος Εὐβοίας ἀνακείμενον Ἀρτεμίδι, ὥς φησι Ἀ. ἐν Ἀρτεμίδος (Θηβαΐδος?) β'.*

VII. *Apollon. de pronom. p.* 373 C: *Παρὰ Ἀ. (σφῶε) καὶ μονοσυλλάβως ἐν τρίτῃ Θηβαΐδος·*

Τὸ (τῷ) καί σφω γείνατο μήτηρ·

καὶ ἐν πρώτῃ

Ἀσπασίως τέ σφω ἄγεν οἴκαδε.

VII *b. Interpr. Maii Virg. Aen.* X, 565: *Sed A. in* III *Thebaidos dicit* (*Aegaeona*) *adversus eum* (*Iovem*) *armatum.*

VIII. *Athen.* XI *p.* 468 A—C: *Ἀ. δὲ ὁ Κολοφώνιος ἐν πέμπτῳ Θηβαΐδος φησίν·*

Πάντα μάλ', ὅσσ' Ἄδραστος ἐποιχομένους ἐκέλευσεν
ῥεξέμεν· ἐν μὲν ὕδωρ ἐν δ' ἀσκηθὲς μέλι χεῦε (χεῦαν?)
ἀργυρέῳ κρητῆρι περιφραδέως κερόωντες·
νώμησαν δὲ δέπαστρα θοῶς βασιλεῦσιν Ἀχαιῶν
ἐκ χερὸς εἰστιόωσι καὶ εἰς λοιβὴν χέον εἰθαρ
χρυσείῃ προχόῳ.

καὶ πάλιν·

Ἄλλοις (ἄλλοι) δὲ πρητῆρα πανάργυρον ἠὲ δέπαστρα·
οἰσόντων χρύσεια, τά τ' ἐν μεγάροισιν ἐμοῖσιν
κείαται·

κἆν τοῖς ἑξῆς δέ φησιν·

Καὶ χρύσεια δέπαστρα καὶ ἀσκηθὲς κελέβειον
ἔμπλειον μέλιτος, τό ῥα οἱ προφερέστερον εἴη.

IX. Die zwei letzteren Verse kehren auch wieder *ib. p.* 475 D, E: *Καὶ γὰρ Ἀ. ὁ Κολοφώνιος ἐν πέμπτῳ Θηβαΐδος φησιν·*

Κήρυκας ἀθανάτοισι φέρειν μέλανος οἴνοιο
ἀσκὸν ἐνίπλειον κελεβήϊον ὅττι φέριστον
οἷσιν ἐνὶ μεγάροις κεῖται μέλιτος πεπληθός.

καὶ πάλιν·

Ἀτὰρ ἀμφίθετον κελέβειον ἑλόντες
ἔμπλειον μέλιτος, τό ῥα οἱ προφερέστερον ἦεν.

Blomf. V. 1 *κηρύξας ἄλλοισιν* (vielleicht *κήρυκας ἀγοῖσι*), V. 2 *ἑοῖ πλεῖον κελέβειόν θ'* (richtiger wohl *ἀ. ἔτ' ἔμπλειον κελέβειόν θ'*). *Ἀγοῖσι*, wie *Il.* δ, 265, 519. Vgl. *fr.* X.

X. *Ib. p.* 482 F: *Ἀ. ἐν πέμπτῳ Θηβαΐδος·*

Πᾶσιν δ' ἡγεμόνεσσιν ἐποιχόμενοι κήρυκες
χρύσεα καλὰ κύπελλα τετυγμένα νωμήσαντο.

XI. *Steph.* Δύμη: *Ἀ. ἐν πέμπτῳ Θηβαΐδος·*

Ἐν δὲ σὺ τοῖσι μάλα πρόφρων ἐπίκουρος ἀμορβῶν
ὡμιλήσαρ, ὡς διεπέρσατε Δύμιον ἄστυ.

Die Hdschr. ὡμιλήσαε. *Steph.* das.: *Ἀ. δὲ Καυκωνίδα* (*Δύμην*) *φησὶν αὐτὴν ἀπὸ Καύκωνος ποταμοῦ.* Dasselbe *Strab.* VIII *p.* 387, der *p.* 345: *Ἀ. οὖν Ἐπειοὺς καὶ Καύκωνας ἅπαντας* (*ἀπὸ Μεσσηνίας μέχρι Δύμης*) *προσαγορεύσατο.* Hierhin gehören die Verse, die *Tzetz. Lyc.* 591 aus der Thebais anführt:

Ὡς ἐπαπειλήτην ὥςπερ Καυκωνίδα Δύμην
ἐπραθέτην παίδεσσιν Ἐπειῶν ἀρχεύοντες.

XII. *Steph.* Αἶα: *Ἔστιν Αἶα καὶ Μακεδονίας πηγή, ὡς Ἀ. ἐν Θηβαΐδι.*

XIII. *Athen.* VII *p.* 304 E: *Μνημονεύει αὐτοῦ Ἀντιφάνης* (*Ἀντίμαχος*) *ὁ Κολοφώνιος ἐν τῇ Θηβαΐδι λέγων οὕτως·*

Ἤ ὕκκην ἢ ἵππον ἤ, ὃν κίχλην καλέουσιν.

XIV. *Schol. Stat. Theb.* III, 466: *Dicunt poetam ista omnia* (von Amphiaraos und Melampus) *ex graeco poeta Antimacho deduxisse, qui et ipse (Ion)gam Thebaidem scripsit et veteribus in magno pretio habitam. Acro Hor. A. P.* 136: *A. poeta reditum Diomedis narrans ab exordio coepit primae originis i. e. ab interitu Meleagri.*

XIV *b. Apoll. de pron. p.* 373 B: *Παρὰ Ἀ. ἐνθηβεσιν (ἐν Θηβαΐδος??)·*

Ἕδρακε νῶε μολοῦσα.

Wir fügen die Fragmente hinzu, die wahrscheinlich zur Thebais gehörten.

XV. *Paus.* VIII, 25: *Ὁμολογεῖ δέ σφισι (Θελπουσίοις) καὶ Ἀ. ἐπιστρατείαν Ἀργείων ποιήσας ἐς Θήβας· καί οἱ τὸ ἔπος ἔχει·*

Δήμητρος τόθι φασὶν Ἐριννύος εἶναι ἕδεθλον.

Hierzu nehme man bei *Strab.* VIII *p.* 364:

Δήμητρός τοι Ἐλευσινίης ἱερὴ ὄψ.

Vgl. *Empedocles*: *μία γίνεται ἀμφοτέρων ὄψ* (*Arist. Poet.* 21).

XVI. *Ib.*, nachdem von der kyklischen Thebais die Rede gewesen: *Ἀ. δὲ παῖδα εἶναι γῆς (Ἀρίονα) φησι·*

Ἄδραστος Ταλαῷ υἱὸς Κρηθηϊάδαο
πρώτιστος Δαναῶν περ ἐπαινετὼ ἤλασεν ἵππω
Καιρόν τε κραιπνὸν καὶ Ἀρίονα Θελπουσαῖον,
τόν ῥα τ' Ἀπόλλωνος σχεδὸν ἅλσεος Ὀγκαίοιο
αὐτὴ γῆ ἀνέδωκε σέβας θνητοῖσιν ἰδέσθαι. —

Ἐπὶ τούτῳ δὲ ἐς τὸν Ἀρίονα ἐποίησεν Ἀ.·

Ὅς ῥα ποτ' Ἀδράστῳ τριτάτῳ γ' ἔδμηθ' ὑπ' ἄνακτι.

Zu V. 1 vgl. *Bekk. Anecd. p.* 1223: *Ταλαῶ Ταλαῶο ὡς παρὰ Ἀ.* Für *περ* Blomfield *παρ*, Siebelis *νέω*. V. 6 will Schellenb. *τόθ'* und *δέδμηθ'* V. 2 vielleicht *πόδας αἰνετώ* *).

*) In den Worten bei *Apollod.* III, 6, 8

Ἄδραστον δὲ μόνον ἵππος διέσωσεν Ἀρίων

hat man einen Vers erkannt, wozu kommt, dass in einer Hdschr. *Ἀντιμάχου* dabeisteht. Mitscherlich setzt statt *ἵππος θεός*. Die Sache ist sehr zweifelhaft. Uebrigens ist wohl die Form

XVII. *Strab.* XIII *p.* 588, *Bekker Anecd. p.* 342 (*Bachm.* I, 28):

Ἔστι δέ τις Νέμεσις μεγάλη θεός, ἣ τάδε πάντα
πρὸς μακάρων ἔλαχεν, βωμὸν δέ οἱ εἵσατο πρῶτος
Ἄδρηστος ποταμοῖο παρὰ ῥόον Αἰσήποιο,
ἔνθα τετίμηταί τε καὶ Ἀδρήστεια καλεῖται.

Vgl. *Suid. v.* Ἀδράστεια, *Harpocr., Eust. Il. p.* 355, *Zenob.* I, 30 u. A.,

XVIII. *Schol. Nicand. p.* 31 (wohl von einem Helden):

Ἡφαίστου πυρὶ εἴκελον, ἦν ῥα τιτύσκει
δαίμων ἀκροτάταις ὄρεος κορυφαῖσι Μοσύχλου.

XIX. *Eust. Il. p.* 212:

Ὣς ῥα τότ' Ἀργείων ἐκολῴει στρατός.

Buttmann Lexil. I, 160 κολῴει, Blomfield στρ. Ἀ. ἐ., so dass nach τόθ' eine Lücke sei.

XX. *Schol. Aesch. Sept.* 549: Ἀ. φησιν Ἀργεῖον αὐτὸν (Παρθενοπαῖον) οὐκ Ἀρκάδα.

XXI. *Ib.* 166: Ὀγκαία τοίνυν ἡ Ἀθηνᾶ τιμᾶται παρὰ Θηβαίοις· Ὄγκα δὲ παρὰ Φοίνιξιν ἡ Ἀθηνᾶ καὶ Ὀγκαίαι πύλαι· μέμνηται τούτου καὶ Ἀ.

XXII. *Euseb. Praep. ev.* X, 3:

Ἴδεώ θ', ὃς κάρτιστος ἐπιχθονίων ἦν ἀνδρῶν.
Τὸν δ' ἀπαμειβόμενος προσέφη κρείων Διομήδης.
Λαῶν, οἷσιν ἄνασσον, ἐκαρτύναντο φάλαγγας.

Vgl. *Il.* ι, 554, λ, 316, π, 563.

XXIII. *Schol. Nicand. p.* 20, *Lucian. V. H.* II, 42 (πλόος für Weg zu Lande):

Τοῖσιν δ' ὑλήεντα διὰ πλόον ἐρχομενάων.

Schol. fügt ἀν' vor ὑ. ein. Blomfield irrig διάπλοον.

